LVCIANI

OPVSCVLA SELECTA

EDIDIT

DAV. CHRISTOPH. SEYBOLD

PROF. IEN.

GOTHAE

SVMTIBVS CAR. WILH. ETTINGERI.

1774.

AD

SERENISSIMVM ATQVE POTENTISSIMVM

CAROLVM EVGENIVM

DVCEM VIRTEMBERGIAE AC TECCIAE

COMITEM MONTIS BELIARDENSIS

DOMINVM HEIDENHEMII AC IVSTINGAE

EQVITEM AVREI VELLERIS

CIRCVLI SVEVICI GENERALEM

CAMPI MARESCHALLVM

REL REL

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

DVX SERENISSIME
ATQVE
POTENTISSIME!

Tantum abest, vt ego, qui NOMINE TVO frontem OPVSCVLORVM LVCIANI ornem, audaciae sim accusandus, vt potius, nisi publicum submississimi TIBI pectoris testimonium dem, reprehendendus videar. Tot enim iam tantisque commodis auxisti rem litterariam in terris TVIS, tot beneficiis beasti ACADEMIAM TVBINGENSEM, tantum est TVVM artes excitandi atque promouendi studium, vt TE STATOREM suum et VINDICEM annalibus suis optimo iure adscribant Musae. Litteras in primis GRAECAS ita amas, DVX SERENISSIME atque POTENTISSIME, vt illis omne fere, quod publica cura TIBI permittit, otium

donet

dones. Denique me vt laborem hunc meum in TVAS, OPTIME PRINCEPS, *manus tradam, euocat et hoc, quod in* TVIS, PATER PATRIAE, *terris naſci mihi contigit. Quare* LVCIANVM *hunc meum Clementiſſimo vultu accipias, ſubmiſiſſime rogo,*

DVX SERENISSIME ATQVE

POTENTISSIME

TIBI

DEVOTISSIMVS CLIENS

DAVIDES CHRISTOPHORVS SEYBOLD.

PRAEFATIO.

Non opus erit, conſilium noſtrum, *Opuſcula* quaedam ſelecta LVCIANI in vulgus edendi, pluribus excuſare. Tum enim noſtris hiſce temporibus editiones Auctorum Veterum non nimis augeri poſſe videntur, tum LVCIANEA praeſertim non ſunt admodum parabilia. Veteres enim illac editiones, Aldinae, Iuntinae, aliae, quam raro occurrunt? nouiſſimam vero, ſplendidam il-

lam

lam REITZII, V. C. quotusquisque iuuenum emat?

Deinde nec hoc vitio nobis vertet Lector, quod *Selecta* tantum *Opuſcula* LVCIANI noſtri dedimus, ſi ſciet, edita tantum ea fuiſſe, vt et nos habeamus libellum Graecum, quem Iuuenibus noſtris interpretemur, et vt, ſi forte ſint, alii habeant. Illud vero, quod, vt vides, Lector, *accentus* in hac editione noſtra deleuimus, grauius videtur et excuſatione apud Te indigere.

Poetas Graecos non ſecundum accentuum rationem, ſed ſecundum ſyllabarum, quam vo-

cant

cant, quantitatem, legendos esse, quis neget? aut quem non occidat Homerus secundum modulationem accentuum praelectus? Iam si tibi per cruces illas puerorum, accentus puta, omnis ille Graecae linguae numerus, omnis harmonia in poetis perit: nonne peribit et in iis scriptoribus, qui prorsa scripserunt oratione? Cum certum sit, Acutum v. c. qui dicitur, super τῳ ε vel ο positum, litteram hanc, natura sua breuem, non producere, nonne absonum plane est αρηροτι (αρηρότι) legere? Quid? si apud Romanos legas *perdēre*?

Forte

Forte et ex historia accentuum Graecorum demonstrari possit, Grammaticos illos Alexandrinos, queis accentuum inuentio tribuitur, non in hunc finem eos posuisse, vt tonus in iis syllabis, quae ornatae sunt accentibus, a lectoribus figatur. Sed haec disquisitio nec huius *loci* est, nec *temporis*.

Vnum, reor, erit, quod, quo minus linguae Graece doctores accentus exulare statim iubeant, vetabit. Nempe non aeque facile Graeca legent iuuenes accentibus abiectis, tum

ob

ob ambiguitatem quarumdam vocalium, tum quod, ſi accentus proſcripti ſunt, verba quaedam ſibi haud diſſimilia occurrunt. At num v. c. ει (es) num vero ει (ſi) in hoc illoue loco intelligendum ſit, docebit iuuenes, vel non nimis ſagaces, totius orationis connexio. Ad ambiguas vero illas vocales quod attinet, exercendi ſunt ſaepius linguae Graecae diſcipuli lectione poetarum, vbi, in quibus verbis α, ι, υ ſint longae, in quibus eaedem ſint breues, vſu diſcent et exercitatione. Haurient inde illud commodi, vt quo plus laboris in linguam hanc diſcen-

dam impendendum iis ſit, eo ſolidius eam diſcant.

Spero itaque, viros linguae Graecae peritos tantum abfore, vt, accentus exilio a me multatos eſſe, probro mihi vertant, vt potius *aequi* rei huius Iudices iure id factum eſſe pronuncient.

Textum dedi ſecundum Editionem operum LVCIANI nouiſſimam eamque optimam, illam ſcilicet, quae, per varias manus tradita, Amſtelod. ab anno 1743 - 46. apud WETSTENIOS prodiit,

diit, ab iis tamen, quae ibi occurrunt, mendis typographicis, vt per ſe intelligitur, purgatum.

Cur *Verſionem* non dederim, nemo, puto, quaeret, qui quantae auctoritatis Viri damnauerint eas, non ignorat. Indicem vero lubenter adieciſſem, niſi moles libelli nundinaeque vrgentes eum excluſiſſent.

Quas conſcripſi *Notas*, non Variantes tantum Lectiones aut ſenſum verborum, ſed et *ingenium* Scriptoris tangunt, quidque bene iuuen-

tum, quid moribus aptum, quid falſe dictum ſit, Iuuenes docent.

Habe haec interim, Lector, et ſi noſtra in Auctores commentandi ratio Tibi placet, nobis faue. Ienae IV. Octobr.

MDCCLXXIII.

ΛΟΥ-

ΛΟΥΚΙΑΝΟΥ ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ.

ΔΙΑΛ. Α.

ΠΡΟΜΗΘΕΩΣ ΚΑΙ ΔΙΟΣ.

ΠΡΟΜ. Λυσον με, ω Ζευ· δεινα γαρ ηδη πεπονθα.

ΖΕΥΣ. Λυσω σε φης, ὃν εχρην βαρυτερας πεδας εχοντα, και τον Καυκασον ὁλον ὑπερ κεφαλης επικειμενον, ὑπο ἑκκαιδεκα γυπων μη μονον κειρεσθαι το ἡπαρ, αλλα και τους οφθαλμους εξορυττεσθαι, ανθ᾽ ὡν τοιαυθ᾽ ἡμιν ζωα ανθρωπους επλασας, και το πυρ εκλεψας, και τας γυναικας εδημιουργησας; ἁ μεν γαρ εμε εξηπατησας εν τη διανομη των κρεων, οστα πιμελη κεκαλυμμενα μοι παραθεις, και την αμεινω των μοιρων σεαυτω φυλαττων, τι χρη λεγειν; (1)

ΠΡ. Ουκουν ἱκανην ηδη την δικην εκτετικα τοσουτον χρονον τω Καυκασω προσηλωμενος, τον κακιστα ορνεων απολουμενον αετον τρεφων τω ἡπατι.

(1) Non iniuriam ſibi ipſi illatam vlciſcitur bonus Iupiter: abſit! *bonum publicum* tantum rigoris depoſcebat.

ΖΕΥΣ. Ουδε πολλοστημοριον τουτο, ὡν σε δει παθειν.

ΠΡ. Και μην ουκ αμισθι με λυσεις, ω Ζευ, αλλα σοι μηνυσω (τι) (2) πανυ αναγκαιον.

ΖΕΥΣ. Καταςοφιζη με, ω Προμηθευ.

ΠΡ. Και τι πλεον ἑξω; (3) συ γαρ αγνοησεις αυθις, ενθα ὁ Καυκασος εστιν, ουδ' αποϱησεις δεσμων, ην τι τεχναζων (4) ἁλισκωμαι.

ΖΕΥΣ. Ειπε προτερον, ὁν τινα μισθον (5) αποτισεις αναγκαιον ἡμιν οντα;

ΠΡ. Ην ειπω, εφ' ὁ, τι βαδιζεις νυν, αξιοπιστος εσομαι σοι και περι των ὑπολοιπων μαντευομενος;

ΖΕΥΣ. Πως γαρ ου;

ΠΡ. Παρα την Θετιν, συνεσομενος αυτη.

ΖΕΥΣ. Τουτι μεν εγνως. τι δ'ουν το επι τουτῳ; (6) δοκεις γαρ τι αληθες ερειν.

ΠΡ. Μηδεν, ω Ζευ, κοινωνησης τη Νηρηΐδι· ην γαρ

(2) recepi το *τι*, quod neceſſarium videbatur HEMSTERHVSIO, et videbitur omnino omnibus, in textum, ſic tamen, vt vncis includerem.

(3) πλεον εξω) nos: *was würde ich davon haben?*

(4) τεχναζων) ſi iterum *rerum nouarum artifex* deprehendar.

(5) μισθον) quid ſi? *οντινα μυθον αποτισεις?* nos: *mit was für einem Mährchen willſt du mich denn dafür belohnen?* exquiſitius hoc mihi quidem, et diffidenti promiſſae narratiunculae Ioui conuenientius, videtur. Fluctuat το μισθον ex ſuperiore αμισθι Quae tandem haec eſt *merces*; quam ſanus *Prometheus* Ioui neceſſariam ducere poterat? at *narratio* huius vel illius rei Deo potuit neceſſaria eſſe.

(6) τι δ' ουν επι τουτο) nos: *und dann weiter?*

γαρ αυτη κυοφορηση εκ σου, το τεχθεν ισα εργασεται σε, δια και συ εδρασας τον Κρονον.

ΖΕΥΣ. Τουτο φης, εκπεσειθαι με της αρχης;

ΠΡ. Μη γενοιτο, ω Ζευ· πλην τοιουτο τι ἡ μιξις αυτης απειλει.

ΖΕΥΣ. Χαιρετω τοιγαρ ουν ἡ Θετις· σε δε ὁ Ἡφαιστος επι τουτοις λυσατω.

ΔΙΑΛ. Β.

ΕΡΩΤΟΣ ΚΑΙ ΔΙΟΣ. (1)

ΕΡΩΣ. Αλλ' ει και τι ἡμαρτον, ω Ζευ, συγγνωθι μου· παιδιον γαρ ειμι και ετι αφρων.

ΖΕΥΣ. Συ παιδιον, ω Ερως, ὁς αρχαιοτερος ει πολυ του Ιαπετου; (2) η διοτι μη πωγωνα, μηδε πολιας (3) εφυσας, δια ταυτα και βρεφος αξιοις νομιζεσθαι, γερων και πανουργος ων;

ΕΡ. Τι δε ηδικησα ὁ γερων, (4) ὡς φης, εγω, διοτι με και πεδησαι διανοη;

ΖΕΥΣ. Σκοπει, ω καταρατε, ει μικρα, ὁς εμοι μεν

(1) Feſtiuus admodum eſt hic Dialogus.

(2) *αρχαιοτ. τȣ Ιαπετȣ*) *Amor* apud *Longum* II. pag. m. 252. (Ed. Commelin.) *ȣ τι παις εγω, και ει δοκω παις, αλλα τȣ Κρονȣ πρεσβυτερος, και αυτȣ παντος τȣ χρονȣ.* quem locum *Hemſterhuſio* debeo.

(3) ſub. *τριχας*.

(4) *ο γερων*) *ειρωνικως*. *was habe ich alter Knabe gethan* — —

μεν ὁυτως εντρυφας, ὡστε μηδεν εστιν, ὁ μη πεποιηκας με, σατυρον, ταυρον, χρυσον, κυκνον, αετον· εμου δε ὁλως ουδεμιαν ἡντινα ερασθηναι πεποιηκας, ουδε συνηκα ἡδυς γυναικι δια σε γεγενημενος· αλλα με δει μαγγανευειν επ' αυτας, και κρυπτειν εμαυτον· αἱ δε, τον μεν ταυρον, η κυκνον, φιλουσιν (5), εμε δε ην ιδωσι, τεθνασιν ὑπο του δεους.

ΕΡ. Εικοτως. ου γαρ φερουσιν, ω Ζευ, θνηται ουσαι, την προσοψιν.

ΖΕΥΣ. Πως ουν τον Απολλω ὁ Βραγχος και ὁ Ὑακινθος φιλουσιν;

ΕΡ. Αλλ' ἡ Δαφνη κακεινον εφυγε, καιτοι κομητην και αγενειον οντα. (6) ει δ' εθελεις επεραστος ειναι, μη επισειε την αιγιδα, μηδε τον κεραυνον φερε, αλλ' ὡς ἡδιστον ποιει σεαυτον, (7) ἑκατερωθε καθειμενος βοστρυχους, τη μιτρα τουτους ανειλημμενος, πορφυριδα εχε, ὑποδεου χρυσιδας, ὑπ' αυλω και τυμπανοις ευρυθμα βαινε, και οψει, ὁτι πλειους ακολουθησουσι σοι των Διονυσου Μαιναδων.

ΖΕΥΣ. Απαγε· ουκ αν δεξαιμην επεραστος ειναι τοιουτος γενομενος.

ΕΡ. Ουκ ουν, ω Ζευ, μηδε εραν θελε· ῥαδιον γαρ τουτο γε.

ΖΕΥΣ.

(5) τον μεν ταυρον - Φιλουσιν) lege heic Epigramma XI. Viri ingeniosissimi, LESSINGII pag. 8. ed. nouiss.

(6) η Δαφνη - οντα) narrauit Ouid. Met. I. v. 451. seqq.

(7) εκατερ. et quae sequuntur, sunt επεξηγησεις τε ποιειν εαυτον ηδιστον.

ΖΕΥΣ. Ουκ, αλλ' εραν μεν, απραγμονεστερον δ'αυτου επιτυγχανειν. Επι τουτοις αυτοις αφιημι σε.

ΔΙΑΛ. Γ. (Δ).

ΔΙΟΣ ΚΑΙ ΓΑΝΥΜΗΔΟΥΣ. (1)

ΖΕΥΣ. Αγε, ω Γανυμηδες (ἡκομεν γαρ, ενθα εχρην) φιλησον με ηδη, ὁπως ειδῃς ουκετι ῥαμφος αγκυλον με εχοντα, ουδ' ονυχας οξεις, ου πτερα, οἱος εφαινομην σοι πτηνος ειναι δοκων.

ΓΑΝ. Ανθρωπε, ουκ αετος αρτι ησθα, και καταπταμενος ἡρπασας με απο μεσου του ποιμνιου; (2) πως ουν τα μεν πτερα εκεινα σοι εξερρυηκε, συ δ' αλλος ηδη αναπεφηνας;

ΖΕΥΣ. Αλλ' ουτε ανθρωπος, ὁν ὁρᾳς, ω μειρακιον, ουτε αετος, (3) ὁ δε παντων βασιλευς των θεων ὁυτος ειμι, προς τον καιρον αλλαξας εμαυτον.

ΓΑ. Τι φῃς; συ (4) γαρ ὁ Παν εκεινος; ειτα πως

(1) Sane quam feliciſſime exprimit hic Dialogus mores pueruli *Ganymedis*.

(2) Ne fando quidem quicquam vnquam audiuerat puer de μεταμορφωσεσι Deorum. Stupet itaque hominem ex aquila factum.

(3) Scire debebat aliunde Iupiter, potentiam non excitare amorem.

(4) συ γαρ ο Παν 'εκεινος) nullum alium Deum, quam iſtum gregis ſui, nouit puerulus. quam apte ignarus eſt! Ceterum ne in mentem quidem venire debebat Moſi Solano talis quaeſtio: an Pan cultus fuerit in Phrygia? quid hoc ad Lucianum ridentem?

πως συριγγα ουκ εχεις, ουδε κερατα, ουδε λασιος ει τα σκελη;

ΖΕΥΣ. Μονον γαρ εκεινον ἡγῃ θεον;

ΓΑ. Ναι· και θυομεν γε αυτῳ ενορχιν τραγον επι το σπηλαιον αγοντες, ενθα ἑστηκε· (5) συ δε ανδραποδιστης τις ειναι μοι δοκεις.

ΖΕΥΣ. Ειπε μοι, Διος δε ουκ ηκουσας ονομα, ειδε βωμον ειδες εν τῳ Γαργαρῳ, του ὑοντος και βροντωντος, και αστραπας ποιουντος;

ΓΑ. (7) Συ, ω βελτιστε, φῃς ειναι, ὁς πρωην κατεχεας ἡμων την πολλην χαλαζαν, ὁ οικειν ὑπερανω λεγομενος, ὁ ποιων τον ψοφον, ᾡ τον κριον ὁ πατηρ εθυσεν; ειτα τι αδικησαντα με ανηρπασας, ω βασιλευ των θεων; τα δε προβατα ισως οἱ λυκοι διηρπασαντο ηδη, ερημοις επιπεσοντες.

ΖΕΥΣ. Ετι γαρ μελει σοι των προβατων αθανατῳ γεγενημενῳ, και ενταυθα συνεσομενῳ μεθ' ἡμων;

ΓΑ. Τι λεγεις; ου γαρ καταξεις με ηδη ες την Ιδην τημερον;

ΖΕΥΣ. Ουδαμως· επει ματην αετος ειην αντι θεου γεγενημενος.

ΓΑ. Ουκουν επιζητησει με ὁ πατηρ, και αγανακτη-

(5) vbi posita est *ſtatua* Dei.

(6) Γαργαρῳ) ab Hom. mutuatum hunc *Gargarum* putat *Hemſterh.* cur vero ab *Homero? Gargarum* affert *Lucianus*, non quod H. eius mentionem ſaepius fecit, ſed quod vicinus erat Ganymedi mons et notus eſſe poterat.

(7) ah! quam placet ruſtica haec ſimplicitas!

νακτησει μη ἑυρισκων, και πληγας ὑστερον ληψομαι, καταλιπων το ποιμνιον.

ΖΕΥΣ. Που γαρ εκεινος οψεται σε;

ΓΑ. Μηδαμως· ποθω γαρ ηδη αυτον· ει δ' απαξεις με, ὑπισχνουμαι σοι και αλλον παρ' αυτου κριον τεθυσεσθαι λυτρα ὑπερ εμου. εχομεν δε τον τριετη, τον μεγαν, ὁς ἡγειται προς την νομην.

ΖΕΥΣ. Ὡς αφελης ὁ παις εστι, και ἁπλοϊκος, και αυτο δη τουτο παις ετι! αλλ' ω Γανυμηδες, εκεινα μεν παντα χαιρειν εα, και επιλαθου αυτων, του ποιμνιου, και της Ιδης, συ δε, ηδη γαρ επουρανιος ει, πολλα (8) ευ ποιησεις εντευθεν και τον πατερα και την πατριδα· και αντι μεν τυρου και γαλακτος αμβροσιαν εδη, και νεκταρ πιῃ, τουτο μεντοι και τοις αλλοις ἡμιν αυτος παρεξεις εγχεων. το δε μεγιστον, ουκετι ανθρωπος, αλλ' αθανατος γενησῃ, και αστερα σου φαινεσθαι ποιησω καλλιστον, και ὁλως, ευδαιμων εσῃ.

ΓΑ. Ην δε παιζειν επιθυμησω, τις συμπαιξεται μοι; εν γαρ τῃ Ιδῃ πολλοι ἡλικιωται ημεν.

ΖΕΥΣ. Εχεις κ'ανταυθα τον συμπαιξομενον σοι (9) του-

(8) ευ ποιησεις - τον πατερα) aptum hoc erat argumentum ad puerum, qui patrem adeo desiderabat amabatque, persuadendum.

(9) τουτον Ερωτα) ludi socium promittere poterat et se ipsum, si vera vidit WIELANDIVS, ille Deorum Amor et Dearum, — — —

Wie

τουτον Ερωτα, και αστραγαλους μαλα πολλους· θαῤῥει μονον, και φαιδρος ισθι, και μηδεν επιποθει των κατω.

ΓΑΝ. Τι δε ὑμιν χρησιμος αν γενοιμην; η ποιμαινειν δενσει κἀνταυθα;

ΖΕΥΣ. Ουκ· αλλ' οινοχοησεις, και επι του νεκταρος τεταξῃ, και επιμελησῃ του συμποσιου.

ΓΑΝ. Τουτο μεν ου χαλεπον, (10) οιδα γαρ ὡς χρη εγχεαι το γαλα, και αναδουναι το κισσυβιον.

ΖΕΥΣ. Ιδου, παλιν ουτος γαλακτος μνημονευει, και ανθρωποις διακονησεσθαι οιεται. ταυτι δ' ουρανος εστι, και πινομεν, ὡςπερ εφην, το νεκταρ.

ΓΑΝ. Ἡδιον, ω Ζευ, του γαλακτος; (11)

ΖΕΥΣ. Εισῃ μετ' ολιγον, και γευσαμενος ουκ ετι ποθησεις το γαλα.

ΓΑΝ. Κοιμησομαι δε που της νυκτος; η μετα του ἡλικιωτου Ερωτος;

ΖΕΥΣ. Ουκ· αλλα δια τουτο σε ανηρπασα, ὡς ἁμα καθευδοιμεν.

ΓΑΝ.

Wie lang ists wohl — — —
Daß man mir Ganymed und Amor dich,
Den Donnerer! — beim Gaensespiel erschlich?
Kom. Erzaehl. Iun. u. Gan.

Cf. *Apollon. Rh. Argon.* L. III. v. 115 - 126.

(10) οιδα γαρ -) Fallor vero, an Luc. respexit ad suauissimum illum locum in *Xenophonte*, (Κυρ. Παιδ. I. cap. 3.) vbi Cyrus puer, eadem se, quae Sacas, pincerna, facturum se esse, promittit auo.

(11) Ἡδιον - τυ γαλακτος) Mire πρεπει!

ΓΑΝ. Μονος γαρ ουκ αν δυναιο, αλλ' ἡδιον σοι καθευδειν μετ' εμου;

ΖΕΥΣ. Ναι, μετα γε τοιουτου, ὁιος ει συ, Γανυμηδες, ὁυτω καλος.

ΓΑΝ. Τι γαρ σε προς τον ὑπνον ονησει το καλλος;

ΖΕΥΣ. Εχει τι θελκτρον ἡδυ, (12) και μαλακωτερον επαγει αυτον.

ΓΑΝ. Και μην ὁγε πατηρ ηχθετο μοι συγκαθευδοντι, και διηγειτο ἑωθεν, ὡς αφειλεν αυτου τον ὑπνον στρεφομενος, και λακτιζων και τι φθεγγομενος μεταξυ, ὁποτε καθευδοιμι· ωστε παρα την μητερα επεμπε με κοιμηθησομενον τα πολλα, ὡρα δη συ, ει δια τουτο, ὡς φης, ανηρπασας με, καταθειναι αυθις ες την γην, η πραγματα ἑξεις αγρυπνων· ενοχλησω γαρ σε συνεχως στρεφομενος.

ΖΕΥΣ. Τουτ' αυτο μοι το ἡδιστον ποιησεις, ει αγρυπνησαιμι μετα σου. φιλων γαρ διατελεσω πολλακις και περιπτυσσων.

ΓΑΝ. Αυτος αν ειδειης· εγω δε κοιμησομαι, σου καταφιλουντος.

ΖΕΥΣ. Εισομεθα τοτε, τι πρακτεον, νυν δε απαγε αυτον, ω Ἑρμη, και πιοντα της αθανασιας, αγε οινο-

(12) θελκτρον ἡδυ) quantam vim in omnibus habeat το καλλος, enarrabit tibi laudator pulchritudinis, *Critobulus*, in Sympofio Xenoph. cap. IV. p. 451. Ed. Lipf. T. IV.

οινοχοησοντα ἡμιν, διδαξας προτερον, ὡς χρη ορεγειν τον σκυφον.

ΔΙΑΛ. Δ. (Ε)

ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ. (1)

ΗΡΑ. Εξ ὁυ το μειρακιον τουτο, ω Ζευ, το Φρυγιον, απο της Ιδης ἁρπασας, δευρο ανηγαγες, ελαττον μοι προσεχεις τον νουν. (2)

ΖΕΥΣ. Και τουτο γαρ, ω 'Ηρα, ζηλοτυπεις ηδη, αφελες ὁυτω και αλυποτατον; εγω δε ωμην ταις γυναιξι μοναις χαλεπην σε ειναι, ὁποσαι αν ὁμιλησωσιν εμοι.

ΗΡΑ. Ουδ' εκεινα μεν ευ ποιεις, ουδε πρεποντα σεαυτῳ, ὁς ἁπαντων θεων δεσποτης ων, απολιπων εμε, την νομῳ γαμετην, επι την γην κατει μοιχευσων, χρυσιον, η σατυρος, η ταυρος γενομενος. πλην αλλ' εκεινας μεν σοι κἀν εν γῃ (3) μενουσι· το δ' Ιδαιον τουτι παιδιον ἁρπασας ανεπτης, γενναιοτατε θεων, και

(1) Optime fane Iunonis ζηλοτυπιαν pingit hic Dialogus. Elegantissimum eius commentarium habes in *Kom. Erzaehl. Iuno und Ganym.* praesertim a pag inde 104.

(2) προσεχεις τον νουν) pudice dictum, vti et mox το ομιλειν· exempla quaedam dedit ad h. l. *Hemst.*

(3) εν γῃ μενουσιν)
Du stablest Ort, Gestalt und Zeit,
Liesst deine Dirnen auf der Erden
Und den Olymp noch unentweyht.

και συνοικει ἡμιν, νυν επι κεφαλην μοι (4) επαχθεν, ανεχεσυν δη τω λεγω. ὁυτως ηπορεις ανεχων, και απηγορευκασιν αρα ἡτε Ἡβη, και ὁ Ἡφαιστος διακονουμενοι; συ δε και την κυλικα ουκ αν αλλως λαβοις παρ᾽ αυτου, η φιλησας προτερον αυτον, ἁπαντων ὁρωντων (5), και το φιλημα σοι ἡδιον του νεκταρος. και δια τουτο ουδε διψων πολλακις αιτεις πιειν· ενιοτε δε και απογευσαμενος μονον, εδωκας εκεινω και πιοντος απολαβων την κυλικα, ὁσον ὑπολοιπον εν αυτη, πινεις ὁθεν και αυτος επιε, και (6) ενθα προσηρμοσε τα χειλη, ἱνα και πινης ἁμα και φιλης· πρωην δε ὁ βασιλευς, και ἁπαντων Πατηρ, αποθεμενος την Αιγιδα και τον κεραυνον, εκαθησο (7) αστραγαλιζων μετ᾽ αυτου, πωγωνα τηλικουτον καθειμενος. παντα ουν ὁρω ταυτα, ὡστε μη οιου λανθανειν.

ΖΕΥΣ.

(4) επι κεφαλην επαχθεν) nos fere hunc Graecifmum, fiue Atticifmum, ita exprimimus: *du haſt mir ihn über den Hals gebracht.*

(5) απαντων ορωντων)
Ia heute ſcheuteſt du dich nicht
Vor unſ(e)r aller Angeſicht
Ihn gar zu küſſen und zu herzen.

(6) ενθα προσηρμ. τα χειλη) Tales, quas IAC. BOURDELOTIO vocare placet, amoris *ineptias* et refert, praeter alios, Achill. Tat. L. II. pag. 32 b. ed. Commel. εγω, inquit *Clitophon*, επιτηρησας το μερος τυ εκπωματος, ενθα το χειλος η κορη πιυσα προσεθιγεν, εναρμοσαμενος επινον, αποσολιμαιον τυτο φιλημα ποιων.

(7) αστραγαλιζων) vid. not. 9. ad Dial. praeced.

ΖΕΥΣ. Και τι δεινον, ω Ἡρα, μειρακιον ὀυτω καλον μεταξυ πινοντα καταφιλειν, και ἡδεσθαι αμφοιν, και τῳ φιληματι, και τῳ νεκταρι; ην γουν επιτρεψω αυτῳ κἂν ἁπαξ φιλησαι σε, ουκετι μεμψῃ μοι, προτιμοτερον του νεκταρος οιομενῳ το φιλημα ειναι.

ΗΡΑ. Παιδεραστων ὀυτοι λογοι· εγω δε μη ὀυτω (8) μανειην, ὡς τα χειλη προσενεγκειν τῳ μαλθακῳ τουτῳ Φρυγι, ὀυτως εκτεθηλυμμενῳ.

ΖΕΥΣ. Μη μοι λοιδορου, ω γενναιοτατη, τοις παιδικοις· ὀυτοσι γαρ ὁ θηλυδριας (9) ὁ βαρβαρος, ὁ μαλθακος, ἡδιων και ποθεινοτερος· ου βουλομαι δε ειπειν, μη σε παροξυνω επιπλεον.

ΗΡΑ. Ειθε γε γαμησειας αυτον εμου ἑνεκα· μεμνησο γουν, ὁια μοι δια τον οινοχοον τουτον εμπαροινεις.

ΖΕΥΣ. Ουκ· αλλα τον Ἡφαιστον εδει, τον σον (10) ὑιον οινοχοειν ἡμιν χωλευοντα, εκ της καμινου ἡκοντα, ετι των σπινθηρων αναπλεων, αρτι την πυραγραν αποτιθεμενον, και απ᾽ εκεινων αυτων των δακτυ-

(8) ουτω μανειην)
— *Sie war nie eine Gönnerin*
Von ſolchen eitlen Zeitvertreiben.

(9) θηλυδριας) Ο κατακεκλασμενος δια την εξαγισον ἡδονην· θηλυδριαι τριχοπλασαι εισι. I. BROD. ex *Schol. Ariſtoph.*

(10) τον σον) argutari heic videtur mihi HEMSTERHVSIVS illud de Vulcano ὑπηνεμιῳ. Salſe *Iunonis filium* dicit Iupiter, quaſi exprobaturus, quod ex omnibus aliis feminis formoſiores Vulcano habeat filios.

δακτυλων λαμβανειν ἡμας την κυλικα, και επισπασαμενους Φιλησαι μεταξυ, ὁν ουδ' αν ἡ μητηρ συ ἡδεως Φιλησειας ὑπο της ασβολου κατηθαλωμενον το προσωπον; (11) ἡδεως ταυτα; (12) ου γαρ. Και παρα πολυ ὁ οινοχοος εκεινος εμπρεπει τῳ συμποσιῳ των θεων· ὁ Γανυμηδης καταπεμπτεος αυθις ες την Ιδην· καθαρος γαρ και ῥοδοδακτυλος, (13) και επισταμενως ορεγει το εκπωμα, και ὁ σε λυπει μαλιστα, και Φιλει ἡδιον του νεκταρος.

ΗΡΑ. Νυν και χωλος, ω Ζευ, ὁ Ἡφαιστος, και οἱ δακτυλοι αυτου αναξιοι της σης κυλικος, και ασβολου μεστος εστι, και ναυτιας ορων αυτον, εξ ὁτου τον καλον κομητην τουτον ἡ Ιδη ανεθρεψε· παλαι δε ἑωρας ταυτα, ουδ' οἱ σπινθηρες ουδ' ἡ καμινος απετρεπον σε, μη ουχι πινειν παρ' αυτου.

ΖΕΥΣ. Λυπεις, ω Ἡρα, σεαυτην, ουδεν αλλο, καμοι επιτεινεις τον ερωτα ζηλοτυπουσα· ει δε αχθῃ παρα παιδος ὡραιου δεχομενη το εκπωμα, σοι μεν ὁ ὑιος οινοχοειτω· συ δε, ω Γανυμηδες, εμοι μονῳ αναδιδου την κυλικα· και εφ' ἑκαστῃ δις Φιλει με, και ὁτε πληρη ορεγοις, και αυθις, ὁποτε παρ' εμου απολαμ-

(11) ἡδεως ταυτα) subaudiendum puto, γινεται. *Koennten Wir das mit Lust thun? Meinst du nicht?*

(12) ου γαρ. και) Recepi interpunctionem, quam acuti Vir ingenii, Hemst. dedit, praesertim cum το ου γαρ eleganter sic vsurpari exemplis comprobarit.

(13) ῥοδοδακτ.) epithetum Homericum Aurorae.

λαμβανεις. τι τουτο δακρυεις; (14) μη δεδιθι· οιμωξεται γαρ, ην τις σε λυπειν εθελῃ (15).

ΔΙΑΛ. Ε. (Η)

ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΗΦΑΙΣΤΟΥ. (1)

ΗΦΑΙ. Ἑωρακας, ω Απολλον, το της Μαιας βρεφος το αρτι τεχθεν, ὡς καλον τε εστι και δηλοι τι ηδη, ὡς μεγα αγαθον αποβησομενον;

ΑΠ. Εκεινο γε Φω βρεφος, ω Ἡφαιστε, η μεγα αγαθον, ὁ του Ιαπετου πρεσβυτερον εστιν, ὁσον εν τη πανουργιᾳ;

ΗΦΑΙ. Και τινα αν αδικησαι δυναιτο αρτιτοκον ον;

ΑΠ. Ερωτα τον Ποσειδωνα, ὁυ την τριαιναν εκλεψεν· η τον Αρη· και τουτου γαρ εξειλκυσε λαθων του κουλεου το ξιφος, ἱνα μη εμαυτον λεγω, (2) ὁν αφωπλισε του τοξου και των βελων.

ΗΦΑΙ.

(14) τι τουτο δακρυοις) flet puer, Iunonis iram metuens.

(15) οιμωξεται - εθελῃ)

Herr Zevs beschliest mit einem Amtsgesicht.

Idem apparet hic, qui est in fine libr. 1. Iliad. v. 565.

Αλλ' ακεουσα καθησο — —

Μη νυ τοι ε χραισμωσιν, οσοι Θεοι εισ εν Ολυμπῳ
Ασσον ιονθ' οτε κεν τοι ααπτους χειρας εφησω.

et alibi.

(1) Praecox in furando ingenium Mercurii ridet LVCIANVS.

(2) εμαυτον λεγω) Mercuri!

Τε

ΗΦΑΙ. Το νεογνον ταυτα, ὁ μογις εκινειτο εν τοις σπαργανοις;

ΑΠ. Εισῃ, ω Ἡφαιστε, ει σοι προσελθῃ μονον.

ΗΦΑΙ. Και μην προσηλθεν ηδη.

ΑΠ. Τι ουν, παντα εχεις τα εργαλεια, και ουδεν απολωλεν αυτων;

ΗΦΑΙ. Παντα, ω Απολλον.

ΑΠ. Ὁμως επισκεψαι ακριβως.

ΗΦΑΙ. Νη Δια, την πυραγραν ουχ ὁρω.

ΑΠ. Αλλ' οψει αυτην που εν σπαργανοις του βρεφους. (3)

ΗΦΑΙ. Ὁυτως οξυχειρ εστι, καθαπερ εν τῃ γαστρι εκμελετησας την κλεπτικην.

ΑΠ. Ου γαρ ηκουσας αυτου και λαλουντος ηδη στωμυλα και επιτροχα; ὁ δε και διακονεισθαι ἡμιν εθελει. Χθες δε προκαλεσαμενος τον Ερωτα κατεπαλαισεν ευθυς ουκ οιδ' ὁπως ὑφελκων τω ποδε· ειτα μεταξυ επαινουμενος, της Αφροδιτης μεν τον κεστον εκλεψε, προσπτυξαμενης αυτον επι τῃ νικῃ· του Διος δε γελωντος, το σκηπτρον· ει δε μη βαρυτερος ὁ κεραυνος ην, και πολυ το πυρ ειχε, κἀκεινον αν ὑφειλετο.

ΗΦΑΙ.

Te — —
— viduus pharetra
Risit Apollo. Hor. O. I. 10.

(3) τε βρεφες) callidi, quicquid placuit, iocoso
Condere furto. ibid.

ΗΦΑΙ. Γοργον τινα τον παιδα φης.

ΑΠ. Ου μονον, αλλ' ηδη και μουσικον.

ΗΦΑΙ. Τῳ τουτο τεκμαιρεσθαι (4) εχεις;

ΑΠ. Χελωνην που νεκραν ἑυρων, οργανον απ' αυτης συνεπηξατο. (5) Πηχεις γαρ εναρμοσας, και ζυγωσας, επειτα κολλαβους εμπηξας, και μαγαδιον ὑποθεις, και εντειναμενος ἑπτα χορδας, μελῳδει πανυ γλαφυρον, ω Ἡφαιστε, και εναρμονιον, ὡς κᾀμε αυτῳ φθονειν τον παλαι κιθαριζειν ασκουντα. ελεγε δε ἡ Μαια, ὡς ουδε μενοι τας νυκτας εν τῳ ουρανῳ, αλλ' ὑπο περιεργιας αχρι του ᾁδου κατιοι, κλεψων τι κᾀκειθεν δηλαδη· ὑποπτερος δ'εστι· και ῥαβδον τινα πεποιηται θαυμασιαν την δυναμιν, ᾗ ψυχαγωγει, και καταγει τους νεκρους. (6)

ΗΦΑΙ. Εγω εκεινην εδωκα αυτῳ παιγνιον ειναι.

ΑΠ. Τοιγαρουν απεδωκε σοι τον μισθον την πυραγραν.

ΗΦΑΙ. Ευ γε ὑπεμνησας· ὡστε βαδιουμαι απολημψομενος αυτην, ει που, ὡς φης, ἑυρεθειη εν τοις σπαργανοις.

ΔΙΑΛ.

4) τεκμαιρεσθαι) h. v. fic faepius adhibetur, apud. Xenoph. in primis το τεκμηριον occurrit. fic Απομν. I. 4, I. Συμπ. 4, 17. al. nos dicimus *Beweis.*

(5) συνεπηξατο) curuae lyrae parens hinc audit FLACCO.

(6) καταγει τους νεκρους) Hom. διακτορος, tum, qui νεκρους, tum qui αγγελιας Iouis διαγει. vid. Hemft. ad Noftr. p. 489.

ΔΙΑΛ. Ζ. (Η)

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΔΙΟΣ.

ΗΦΑΙ. Τι με, ω Ζευ, δει ποιειν; ἡκω γαρ, ὡς εκελευσας, εχων τον πελεκυν οξυτατον, ει και λιθους δεοι μιᾳ πληγῃ διατεμειν.

ΖΕΥΣ. Ευγε, ω Ἡφαιστε· αλλα διελε μου την κεφαλην εις δυο κατενεγκων.

ΗΦΑΙ. Πειρᾳ μου, ει μεμηνα; προσταττε δ'ουν τ'αληθες, ὁπερ θελεις σοι γενεσθαι.

ΖΕΥΣ. Διαιρεθηναι μοι το κρανιον· ει δε απειθησεις, ου νυν πρωτον οργιζομενου πειρασῃ μου. (1) αλλα χρη καθικνεισθαι παντι τῳ θυμῳ μηδε μελλειν· απολλυμαι γαρ ὑπο των ωδινων, ἁι μου τον εγκεφαλον αναστρεφουσιν.

ΗΦΑΙ. Ὁρα, ω Ζευ, μη κακον τι ποιησωμεν. οξυς γαρ ὁ πελεκυς εστι, και ουκ αναιμωτι, ουδε κατα την Ειλειθυιαν μαιωσεται σε. (2)

ΖΕΥΣ. Κατενεγκε μονον, ω Ἡφαιστε, θαῤῥων. οιδα γαρ εγω το συμφερον.

ΗΦΑΙ. Ακων μεν, κατοισω δε· τι γαρ χρη ποιειν,

(1) ου νυν πρωτον - μου) Memento, quem αργαλεος Ολυμπιος αντιφερεσθαι, qui te olim ριψε ποδος τεταγων απο βηλου θεσπεσιοιο. Ιλ. α. 589.

(2) ου κατα τ. Ειλειθ. μαιωσ. σε) largiſſimam iocandi materiam Noſtro praebet haec fabula. Deus parit, obſtetrix eſt Vulcanus, Lucina ſecuris, merces obſtetricia Dea recens nata.

ειν, σου κελευοντος; τι τουτο; κορη ενοπλος; μεγα, ω Ζευ, κακον ειχες εν τη κεφαλη· εικοτως γουν οξυθυμος ησθα, τηλικαυτην ὑπο την μηνιγγα παρθενον ζωογονων, και ταυτα ενοπλον (3)· ηπου στρατοπεδον, ου κεφαλην ελεληθεις εχων. ἡ δε πηδᾳ, και πυρριχιζει (4) και την ασπιδα τινασσει, και το δορυ παλλει, και ενθουσιᾳ και το μεγιστον, καλη πανυ και ακμαια γεγενηται ηδη εν βραχει· γλαυκωπις μεν, αλλα κοσμει και τουτο ἡ κορυς, ὡστε, ω Ζευ, μαιωτρα μοι αποδος εγγυησας μοι αυτην.

ΖΕΥΣ. Αδυνατα αιτεις, ω Ἡφαιστε. παρθενος γαρ αει θελει μενειν, εγω γουν· το γε επ' εμοι, ουδεν αντιλεγω.

ΗΦΑΙ. Τουτ' εβουλομην· εμοι μελησει τα λοιπα· και ηδη συναρπασω αυτην. (5)

ΖΕΥΣ. Ει σοι ῥᾳδιον. ὁυτω ποιει, πλην οιδα, ὁτι αδυνατων ερᾳς.

ΔΙΑΛ.

(3) μεγα, ω Ζευ, κακον - κεφαλη) Festiuus heic est bonus Vulcanus.

(4) πυρριχιζει) nota est saltatio ενοπλιος. dixerunt de ea Hemst. ad h. l. et, quem ille laudat, Spanh. ad Call. T. II. p. 50. Ed. Ernest.

(5) συναρπασω αυτην) an rapuerit, an non? de eo aeque conuenit scriptoribus, ac de obstetrice ipsa, an Vulcanus fuerit, an Prometheus, an vero Mercurius? Plura de his talibus dicere, huius loci non est, qui non id inquirimus, an vera narret Lucianus, sed num apte iocatus sit, et cum sale rideat?

ΔΙΑΛ. Η. (Ι).

ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ. (1)

ΠΟΣ. Εστιν, ω Ἑρμη, νυν εντυχειν τῳ Δι;

ΕΡΜ. Ουδαμως, ω Ποσειδον.

ΠΟΣ. Ὁμως προσαγγειλον αυτῳ.

ΕΡΜ. Μη ενοχλει, φημι· ακαιρον γαρ, ὡϛε ουκ αν ιδοις αυτον εν τῳ παροντι.

ΠΟΣ. Μων τῃ Ἡρᾳ συνεστιν;

ΕΡΜ. Ουκ· αλλ᾽ ἑτεροιον τι εστι.

ΠΟΣ. Συνιημι, ὁ Γανυμηδης ενδον.

ΕΡΜ. Ουδε τουτο· αλλα μαλακως εχει αυτος.

ΠΟΣ. Ποθεν, ω Ἑρμη; δεινον γαρ τουτο φης.

ΕΡΜ. Αισχυνομαι ειπειν, τοιουτον εστι.

ΠΟΣ. Αλλ᾽ ου χρη προς εμε θειον γε οντα.

ΕΡΜ. Τετοκεν αρτιως, ω Ποσειδον.

ΠΟΣ. Απαγε, τετοκεν εκεινος; εκ τινος; ουκουν ελεληθει ἡμας ανδρογυνος ων; αλλ᾽ ουδε επεσημαινεν αυτῳ ἡ γαστηρ ογκον τινα.

ΕΡΜ. Ευ λεγεις· ου γαρ εκεινη ειχε το εμβρυον.

ΠΟΣ. Οιδα· εκ της κεφαλης ετεκεν αυθις, ὡσπερ την Αθηναν· τοκαδα γαρ την κεφαλην εχει.

ΕΡΜ. Ουκ· αλλ᾽ εν τῳ μηρῳ εκυει το εκ της Σεμελης βρεφος.

ΠΟΣ. Ευγε ὁ γενναιος, ὡς ὁλος ἡμιν κυοφορει,

(1) Pergit Iouem θεοτοκον ridere Nofter.

και πανταχοθι του σωματος· αλλα τις ἡ Σεμελη εστιν;

ΕΡΜ. Θηβαια, των Καδμου θυγατερων μια· ταυτη συνελθων, εγκυμονα εποιησεν.

ΠΟΣ. Ειτα ετεκεν, ω Ἑρμη, αντ' εκεινης;

ΕΡΜ. Και μαλα, ει και παραδοξον ειναι σοι δοκει. την μεν γαρ Σεμελην ὑπελθουσα ἡ Ἡρα, οισθα δε ὡς ζηλοτυπος εστι, πειθει αιτησαι παρα του Διος, μετα βροντων και αστραπων ἡκειν παρ' αυτην· ὡς δ' επεισθη, και ἡκεν εχων και τον κεραυνον, ανεφλεγη ὁ οροφος· και ἡ Σεμελη μεν διαφθειρεται ὑπο του πυρος· εμε δε κελευει ανατεμοντα την γαστερα της γυναικος, ανακομισαι ατελες ετι αυτῳ το εμβρυον ἑπταμηνιαιον, και επειδη εποιησα, διελων τον ἑαυτου μηρον, εντιθησιν, ὡς αποτελεσθειη ενταυθα, και νυν τριτῳ ηδη μηνι εξετεκεν αυτο, και μαλακως απο των ωδινων εχει.

ΠΟΣ. Νυν ουν που το βρεφος εστιν;

ΕΡΜ. Ες την Νυσσαν αποκομισας παρεδωκα ταις Νυμφαις ανατρεφειν, Διονυσον επονομασθεντα.

ΠΟΣ. Ουκουν αμφοτερα, του Διονυσου τουτου και μητηρ και πατηρ ὁδε εστιν;

ΕΡΜ. Εοικεν· απειμι δ' ουν ὑδωρ αυτῳ προς το τραυμα οισων, και τ' αλλα ποιησων, ὁσ' αν νομιζηται ὡσπερ λεχοι.

ΔΙΑΛ.

ΔΙΑΛ. Θ. (Κ)

ΕΡΜΟΥ ΚΑΙ ΗΛΙΟΥ.

ΕΡΜ. Ω Ἡλιε, μη ελασσης τημερον, ὁ Ζευς Φησι, μηδε αυριον, μηδ' ες τριτην ἡμεραν, αλλ' ενδον μενε· και το μεταξυ μια τις εστω νυξ μακρα, ὡστε λυετωσαν μεν αἱ Ὡραι αυθις τους ἱππους, συ δε σβεσον το πυρ, και αναπαυε δια μακρου σεαυτον.

ΗΛ. Καινα ταυτα, ω Ἑρμη, και αλλοκοτα ἡκεις παραγγελλων· αλλα μη παραβαινειν τι εδοξα (1) εν τῳ δρομῳ, και εξω ελασαι των ὁρων, κᾀτα μοι αχθεται, και την νυκτα τριπλασιαν της ἡμερας ποιησαι διεγνωκεν;

ΕΡΜ. Ουδεν τοιουτον· ουδ' ες αει τουτο εσται· δειται δε τι νυν αυτος επιμηκεστεραν γενεσθαι οἱ την νυκτα.

ΗΛ. Που δε και εστιν, η ποθεν εξεπεμφθης αγγελων ταυτα μοι;

ΕΡΜ. Εκ Βοιωτιας, ω Ἡλιε, παρα της Αμφιτρυωνος γυναικος, ἡ συνεστιν.

ΗΛ. Ερων αυτης (2); ειτα ουχ ἱκανη νυξ μια;

ΕΡΜ. Ουδαμως, τεχθηναι γαρ τινα δει εκ της ὁμι-

(1) μη παραβ. τι εδοξα -) Veretur, ne in curru regendo peccarit, vt filius olim.

(2) ερων αυτης) recte interpungere mihi videtur I. IENSIVS, sic, ἡ συνεστιν, ερων αυτης. Ηλ. Ειτα ουχ ἱκ. ν. μ. — Ridicula quaestio foret Apollinis, an Iupiter amet illam? „Frigebit, inquit *Moses Sol.* si Mercurio tribuatur.„ immo frigebit, si Apollini.

ὁμιλιας ταυτης μεγαν και πολυαθλον θεον. τουτον ουν εν μιᾳ νυκτι αποτελεσθηναι αδυνατον.

ΗΛ. Αλλα τελεσιουργειτω μεν αγαθη τυχη! Ταυτα δ' ουν, ω Ἑρμη, ουκ εγινετο επι του Κρονου (3) (αυτοι γαρ ἡμεις εσμεν) (4) ουδ' αποκοιτος εκεινος παρα της Ῥεας ην, ουδ' απολιπων αν τον ουρανον εν Θηβαις εκοιματο· αλλα ἡμερα μεν ην ἡ ἡμερα, νυξ δε κατα μετρον το αυτης αναλογον ταις ὡραις (5), ξενον δε η παρηλλαγμενον ουδεν· ουδ' αν εκοινωνησε ποτε εκεινος θνητη γυναικι, νυν δε δυστηνου γυναικου ἑνεκα χρη αναστραφθαι τα παντα; ακαμπεστερους μεν γενεσθαι τους ἱππους ὑπο της αργιας, δυσπορον δε την ὁδον, ατριβη μενουσαν ἑξης τριων ἡμερων, τους δ' ανθρωπους αθλιως εν σκοτεινῳ διαβιουν· (6) τοιαυτα απολαυσονται των Διος ερωτων, και καθεδουνται περιμενοντες, εστ' αν

εκει-

(3) επι τȣ Κρονȣ) laudator temporis acti!

(4) αυτοι γαρ ημεις εσμεν) soli enim sumus et sine arbitris; de qua τȣ αυτος notione (solus) plura exempla dedit HEMSTERH. ad h. l.

(5) ταις ωραις) sic et Latinorum *horae* anni.

(6) τȣς δ. ανθρ. - διαβιȣν) sic queritur Sosias apud Plautum, Amphitr. A. I. S. c. I.

Neque se septemtriones quoquam in caelo commouent,
Neque se Luna quoquam mutat, atque vti exorta est semel.
Nec Iugulae, neque Vesperugo, neque Vergiliae occidunt.
Ita statim stant signa, neque nox quoquam concedit die — —
Neque ego hac nocte longiorem me vidisse censeo.

εκεινος αποτελεση τον αθλητην, ὁν λεγεις, ὑπο μακρῳ τῳ ζοφω.

ΕΡΜ. Σιωπα, ω Ἡλιε, μη τι κακον απολαυσης (7) των λογων· εγω δε παρα την Σεληνην απελθων και τον Ὑπνον, απαγγελω κακεινοις, ἁπερ ὁ Ζευς επεσειλε, την μεν σχολη προβαινειν, τον δε ὑπνον μη ανιεναι τους ανθρωπους, ὡς αγνοησωσι μακραν ὁυτω την νυκτα γεγενημενην.

ΔΙΑΛ. Ι. (Λ)
ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΣΕΛΗΝΗΣ.

ΑΦΡΟ. Τι ταυτα, ω Σεληνη, Φασι ποιειν σε, ὁποτ' αν κατα την Καριαν γενη, ἱσαναι μεν σε το ζευγος αφορωσαν ες τον Ενδυμιωνα καθευδοντα ὑπαιθριον, ἁτε κυνηγετην οντα, ενιοτε δε και καταβαινειν επ' αυτον εκ μεσης της οδου; (1)

ΣΕΛ. Ερωτα, ω Αφροδιτη, τον σον ὑιον, ὁς μοι τουτων αιτιος.

ΑΦΡ. Εα· (2) εκεινος ὑβρισης εσιν, εμε γουν, αυτου την

(7) απολαυσης) απολ. verbum μεσον, vti ονειδος, κλεος, alia. Vide *Cel.* VALKEN. ad Eurip. Phoen. p. 309. Sic infr. in Dial. Mort. Alex. et Diog. τουτο γε απολελαυκα της σοφιας.

(1) ενιοτε - τ. οδου) *Kom. Erz. Endym.*

— Da sie ganz allein sich sieht,

Lenckt sie mit ruhigerm Gemüth

Den Silberwagen sanfft zur Erde, u. s. w.

(2) Εα) nos diceremus: *Laß es gut seyn, sey weiter nicht böse auff ihn.* etc.

την μητερα, ὁια δεδρακεν (3), αρτι μεν ες την Ιδην καταγων, Αγχισȣ ἑνεκα τȣ Ιλεως, αρτι δ' ες τον Λιβανον επι το Ασσυριον εκεινο μειρακιον (4), ὁ και τη Περσεφαττη επεραστον ποιησας εξ ἡμισειας αφειλετο με το ερωμενον· ὡστε πολλακις ηπειλησα, ει μη παυσεται τοιαυτα ποιων, κλασειν μεν αυτȣ τα τοξα και την φαρετραν, περιαιρησειν δε και τα πτερα (5)· ηδη δε και πληγας αυτω ενετεινα εις τας πυγας τω σανδαλω (6)· ὁ δε ȣκ οιδ' ὁπως τοπαραυτικα δεδιως και ἱκετευων μετ' ολιγον επιλελησται ἁπαντων. (7) -- Αταρ ειπε μοι, καλος ὁ Ενδυμιων εστιν; ευπαραμυθητον γαρ ȣτω το δεινον.

ΣΕΛ. Εμοι μεν και πανυ καλος (8), ω Αφροδιτη, δοκει, και μαλιστα, ὁταν ὑποβαλλομενος επι της πετρας την χλαμυδα καθευδη (9), τη λαια μεν εχων

(3) εμε γȣν την μητ. κ. τ. λ.) ſic in Dial. Αφροδ. κ. Ερωτ. Venus: ἁ μεν ες εμε την μητερα ὑβριζεις θαρρων ποιεις.

(4) Ασσ. εκ. μειρακιον) προς τον Αδωνιν.

(5) περιαιρ. δ. κ. τ. πτερα) *Kom. Erzaebl.*

Bald baett' ich Luſt, dich wehrlos heimzuſchicken,
Vnd, weil der Flug dich nur zur Schelmerei verführt,
Dir noch die Schwingen auszupflücken.

(6) τω σανδαλω) perquam κωμικως!

(7) επιλελησται απαντων) quippe nimis ad nequitias pronus.

(8) πανυ καλος κ. τ. λ.) quam heic Luna, cui eſt alias gelidus circum praecordia ſanguis, ενθȣσιαζει! at vero amores ſuos pingit.

(9) καθευδη) *Wie reizend lag er da u. ſ. w.* *Wieland.*

εχων τα ακοντια, ηδη εκ της χειρος ὑποῤῥεοντα· ἡ δεξια δε περι την κεφαλην ες το ανω επικεκλασμενη επιπρεπει, τῳ προσωπῳ περικειμενη, ὁ δ' ὑπο τȣ ὑπνȣ λελυμενος αναπνεει το αμβροσιον εκεινο ασθμα. Τοτε τοινυν εγω αψοφητι κατιȣσα, επ' ακρων των δακτυλων βεβηκυια, ὡς αν μη ανεγρομενος εκταραχθειη. Οισθα; (10) τι αν ȣν σοι λεγοιμι τα μετα ταυτα; (11) πλην απολωλυμαι γ' ὑπ' ερωτος.

ΔΙΑΛ. Κ. (Ο)

ΕΡΜΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ

ΕΡΜ. *Το δε και χωλον αυτον οντα Ἡφαιςον (1) και τεχνην εχοντα βαναυσον, ω Απολλον, τας καλλιςας γεγαμηκεναι, την τε Αφροδιτην και την Χαριν; (2)*

ΑΠ.

(10) Οισθα) hoc *οισθα* eſt illud OVIDII: caetera quis neſcit?

(11) *λεγοιμι μετα τ.*) non opus habebat, Veneri ſua, quae ipſa dat, gaudia enarrare, quare heic definit. at to *απολωλυμαι γ' ὑπ' ερωτος*, quantam hoc vim habet?

(1) Ἡφαιςος forte ex margine irrepſit.

(2) Abruptus ſermo eſt, proditque iram Dei, quod iniuſte ita ſecum agat Amor. quare *nihil intercidiſſe* mihi videtur. — De Venere, Vulcani vxore, res nota eſt. Charitum maximam ſine dubio debet HOMERO, Ιλ. Σ. 383. Ceterum cur pulcherrimis quibusque vxoribus, Venere certe, beatus ſit ὁ Αμφιγυηεις, dicet tibi ille *των Χαριτων Μυςης*, (*in den Grazien*) p. 26. *Weil alle die Venus haben wollten, hatte* MOMVS *den Einfall: um alle zufrieden zu ſtellen, köcnte man nichts beſſers thun, als ſie dem Häßlichſten zu geben.*

ΑΠ. Ευπετμια τις, ω Ἑρμη· πλην εκεινο γε εγω θαυμαζω, το ανεχεσθαι συνοντας αυτῳ, και μαλιστα, ὁταν ὁρωσιν ἱδρωτι ῥεομενον, εις την καμινον επικεκυφοτα, πολλην αιθαλην επι του προσωπου εχοντα, και ὁμως τοιουτον οντα αυτον περιβαλλουσι τε και φιλουσι και συγκαθευδουσι. (3)

ΕΡΜ. Τουτο και αυτος αγανακτω και Ἡφαιστῳ φθονω. συ δε κομα, ω Απολλον, και κιθαριζε, και μεγα επι τῳ καλλει φρονει, κἀγω επι τῃ ευεξιᾳ και τῃ λυρᾳ· ειτα επειδαν κοιμασθαι δει, μονοι καθευδησομεν.

ΑΠ. Εγω μεν και αλλως αναφροδιτος ειμι εις τα ερωτικα (4), και δυο γουν, ους μαλιστα ὑπερηγαπησα, την Δαφνην και τον Ὑακινθον, ἡ μεν αποδιδρασκει με και μισει, ὡστε εἱλετο ξυλον γενεσθαι μαλλον, η εμοι συνειναι· ὁ δε ὑπο του δισκου απωλετο, και νυν αντ' εκεινων στεφανους εχω. (5)

ΕΡΜ. Εγω δε ηδη ποτε την Αφροδιτην-(6) αλλ' ου χρη αυχειν.

ΑΠ.

(3) συγκαθευδουσι) addi debebat αυτῳ. annumeranda haec talia putem *negligentiis* illis, de quibus singularem disquisitionem debemus τῳ Πανυ ERNESTIO, *Opusc.* Philolo. Crit. insertam.

(4) αναφροδιτος ει. εις τ. ερωτικα) Comice satis de sua in amoribus infelicitate conqueritur.

(5) αντ' εκ. στεφαν. εχ.) i. e. pro thesauro carbonem, vt aiunt.

(6) την Αφροδιτην) αποσιωπησις verecunda, qualis illa Virgilii Ecl. III. 8. Nouimus et qui te — —

ΑΠ. Οιδα, και τον Ἑρμαφροδιτον εκ σου λεγεται τετοκεναι. πλην εκεινο μοι ειπε, ει τι οισθα, πως ου ζηλοτυπει ἡ Αφροδιτη την Χαριν, η Χαρις ταυτην;

ΕΡΜ. Ὁτε, ω Απολλον, εκεινη μεν αυτῳ εν Λημνῳ συνεστιν, ἡ δ' Αφροδιτη εν τῳ ουρανῳ· αλλως τε περι τον Αρη εχει ταπολλα, κἀκεινου ερᾳ, ὡστε ολιγον αυτῃ του χαλκεως τουτου μελει.

ΑΠ. Και ταυτα οιει τον Ἡφαιστον ειδεναι;

ΕΡΜ. Οιδεν· αλλα τι αν δρασαι δυναιτο, γενναιον ὁρων νεανιαν, και στρατιωτην αυτον, ὡστε την ἡσυχιαν αγει· πλην απειλει γε δεσμα τινα επιμηχανησασθαι αυτοις και συλληψεσθαι, σαγηνευσας επι της ευνης. (7)

ΑΠ. Ουκ οιδα, ευξαιμην δ' αν αυτος ὁ ξυλληφθησομενος ειναι. (8).

ΔΙΑΛ.

(7) συλληψεσθαι - ευνης) LVCIANVS heic tanquam futura demum praedicit, quae iam facta referunt Hom. Odyff. VIII. 267. feqq. et Ouidius A. Am. II. 561. ipfe quoque Dial. fingulari.

(8) ευξαιμην - ειναι) ex Homeri loco laudato, fed ibi Mercurius ipfe ita:

Δεσμοι μεν τρις τοσσοι απειρονες αμφις εχοιεν.

ΔΙΑΛ. Λ. (Υ)

ΖΕΥΣ ΕΡΜΗΣ ΗΡΑ ΑΘΗΝΑ ΑΦΡΟΔΙΤΗ ΠΑΡΙΣ η ΑΛΕΞΑΝΔΡΟΣ. (1)

ΖΕΥΣ Ἑρμη, λαβων τουτι το μηλον, απιθι ες την Φρυγιαν παρα τον Πριαμου παιδα, τον βουκολον (νεμει δε της Ιδης εν τω Γαργαρω) (2) και λεγε προς αυτον, ότι σε, ω Παρι, κελευει ὁ Ζευς, επειδη καλος τε αυτος ει, και σοφος τα ερωτικα, δικασαι ταις Θεαις, ἡτις αυτων ἡ καλλιστη εστι· του δε αγωνος το αθλον ἡ νικουσα λαβετω το μηλον. ὡρα δε ηδη και ὑμιν (3) αυταις απιεναι προς τον δικαστην. εγω δε αποθουμαι την διαιταν, επισης τε ὑμας αγαπων, και, ειγε οιον τε ην, ἡδεως αν ἁπασας νενικηκυιας ειδον· αλλως τε και αναγκη, μια το καλλιστειον αποδοντα παντως απεχθανεσθαι τοις πλειοσι· δια ταυτα μεν αυτος ουκ επιτηδειος ὑμιν δικαστης. ὁ δε νεανιας

(1) Ex suauissimis est hic Dialogus, in quem omne fere, quicquid Iocorum est et Venerum, contulisse videtur LVCIANVS Multa ex illo sumsit WIELANDIVS, sed ita, vt ingenii magni virum ab altero sumere par est, immo vero Nostrum in quibusdam superauit. Vtrumque iudicium Paridis si conferant inter se iuuenes, multum sibi id ad formandum ingenium gustumque prodesse sentient. Praeiuit Vir Cl. KOESTERVS, multum et hoc nomine laudandus, quod iniquis nonnullorum iudiciis de ηθεσι horum scriptorum non deterreri se passus est.

(2) Γαργαρω) Ακρα της Ιδης.

(3) ὑμιν) iam ad Deas ipsas, itineri accinctas, se conuertit.

νιας αυτος ὁ Φρυξ, εφ' ὁν απιτε, βασιλικος μεν εςι και Γανυμηδους τουτου συγγενης, ταλλα δε αφελης, και ορειος, ουκ αν τις αυτον απαξιωσειε της θεας.

ΑΦΡΟΔ. Εγω μεν, ω Ζευ, ει και τον Μωμον (4) αυτον επιςησειας ἡμιν δικαςην, θαῤῥουσα βαδιουμαι προς την επιδειξιν· τι γαρ αν και μωμησαιτο μου; χρη δε και ταυταις (5) αρεσκειν τον ανθρωπον.

ΗΡ. Ουδ' ἡμεις, ω Αφροδιτη, δεδιαμεν, ουδ' αν ὁ Αρης ὁ σος επιτραπη την διαιταν (6), αλλα δεχομεθα και τουτον, ὁςις αν η, τον Παριν.

ΖΕΥΣ. Η και σοι ταυτα, ω θυγατερ, συνδοκει; τι φης; αποςρεφη και ερυθριας; (7) εςι μεν ιδιον το αιδεισθαι γε τα τοιαυτα ὑμων των παρθενων. επινευεις δε ὁμως. απιτε ουν, και ὁπως μη χαλεπηνητε τω δικαςη αἱ νενικημεναι, μηδε κακον εντριψησθε (8) τω νεανισκω. ου γαρ ὁιοντε επισης ειναι καλας πασας.

ΕΡΜ. Προϊωμεν ευθυ της Φρυγιας, εγω μεν ἡγουμενος, ὑμεις δε μη βραδεως ακολουθειτε μοι, και θαρ-

(4) ει και τον Μωμον — —) Iunoni haec tribuit WIELANDIVS, felicius forte.

(5) ταυταις) Iunoni et Mineruae. δεικτικως dictum, vt saepe HOMERO.

(6) ουδ' αν ὁ Αρης - τ. διαιταν) σκωμμα hoc satis amarum est, vti illud infra: ὡρα σοι, ω Αφροδιτη, προϊεναι και ἡγεισθαι ἡμιν ὁδου· συ γαρ — — — προς Αγχισην.

(7) αποςρεφει κ. ερυθριας) quam decent haec virginem Mineruam!

(8) κακον εντριψησθε) sic Lat. malum interere.

θαῤῥειτε. οιδα εγω τον Παριν. νεανιας εστι καλος, και τ'αλλα ερωτικος, και τα τοιαυτα κρινειν ἱκανωτατος· ουκ αν εκεινος δικασειε κακως.

ΑΦΡ. Τουτο μεν ἁπαν αγαθον και προς εμου (9) λεγεις, το δικαιον ἡμιν ειναι τον δικαστην· ποτερα δε αγαμος εστιν ουτος, η και γυνη τις αυτῳ συνεστιν;

ΕΡΜ. Ου παντελως αγαμος εστιν, ω Αφροδιτη.

ΑΦΡ. Πως λεγεις;

ΕΡΜ. Δοκει τις αυτῳ συνοικειν Ιδαια γυνη (10), ἱκανη μεν, (11) αγροικος δε και δεινως ορειος· αλλ' ου σφοδρα προσεχειν αυτη εοικε. τινος δ' ουν ἑνεκα ταυτα ερωτας;

ΑΦΡ. Αλλως ηρομην. (12)

ΑΘΗΝ. Παραπρεσβευεις, ω ουτος, ιδιᾳ ταυτη κοινολογουμενος.

ΕΡΜ. Ουδεν, ω Αθηνα, δεινον, ουδε καθ' ὑμων· αλλ' ηρετο με, ει αγαμος ὁ Παρις εστιν;

ΑΘΗΝ. Ως δη τι τουτο πολυπραγμονουσα;

ΕΡΜ.

(9) προς εμου) i. e. αρεσκον μοι, vti hunc Atticismum explicat Schol. ad *Aristoph. Vesp.* affert et *Hemst.* exemplum ex *Platone*. Ceterum, vt ex sequentibus apparet, haec ad Mercurium Venus dicit tacite.

(10) Ιδαια γυνη) *Oenone*. Hinc in *Heroidibus* eius ad *Paridem* epistola!

(11) ἱκανη) saepius ἱκανος et αγαθος praestantiam et excellentiam notant in ea re, de qua sermo habetur: hic autem satis est apertum, formae fieri mentionem. Ita HEMSTERH. ad h. l.

(12) tegens consilium suum. το αλλως Mercurius paullo post exponit per ουκ εξεπιτηδες.

ΕΡΜ. Ουκ οιδα· φησι δ' ουν, ότι αλλως επελθον, ουκ εξεπιτηδες, ηρετο με.

ΑΘΗΝ. Τι ουν αγαμος εστιν;

ΕΡΜ. Ου δοκει.

ΑΘΗΝ. Τι δε, των πολεμικων εστιν αυτῳ επιθυμια, και φιλοδοξος τις, η το παν βουκολος; (13)

ΕΡΜ. Το μεν αληθες ουκ εχω λεγειν, εικαζειν δε χρη, νεον οντα και τουτων ορεγεσθαι τυχειν, και βουλεσθαι αν πρωτον αυτον ειναι κατα τας μαχας.

ΑΦΡ. Ὁρᾳς; ουδεν εγω μεμφομαι, ουδε προσεγκαλω σοι το προς ταυτην ιδιᾳ λαλειν· μεμψιμοιρων γαρ, και ουκ Αφροδιτης τα τοιαυτα. (14)

ΕΡΜ. Και αυτη σχεδον τα αυτα με ηρετο· διο μη χαλεπως εχε, μηδ' οιου μειονεκτειν, ει τι και ταυτῃ (15) κατα το ἁπλουν απεκρινάμην. — Αλλα μεταξυ λογων ηδη πολυ προϊοντες απεσπασαμεν (16) των αστερων, και σχεδον γε κατα την Φρυγιαν εσμεν. εγω δε και την Ιδην ὁρω, και αυτον ὑμιν τον Γαργαρον ὁλον ακριβως, ει δε μη εξαπατωμαι, και αυτον ὑμιν τον δικαστην, τον Παριν.

ΗΡΑ.

(13) των πολεμ. - βουκολος) ingenium iudicis noſſe, magno ſaepe vſui fuit. prudenter in id inquirit vtraque Dea.

(14) ουκ Αφροδ. τ. τοιαυτα) quam amabilia ſunt ηθη Veneris! praeterea et victoriae nimis certa eſt - ει μη πανυ ὁ διαιτητης αμβλυωττει - quam vt machinas contra ſe ſuſpicetur.

(15) ταυτῃ) δεικτικως! Minervae.

(16) απεσπασαμεν) ſub. ἑαυτας.

ΗΡΑ. Πȣ δε ἐϛιν; ȣ γαρ κἀμοι φαινεται.

ΕΡΜ. Ταυτῃ, ω ʽΗρα, προς τα λαια σκοπει, μη προς ακρῳ τῳ ορει, παρα δε την πλευραν, ȣ̔ το αντρον καὶ την αγελην ὁρᾳς.

ΗΡΑ. Αλλ᾽ ȣχ ὁρω την αγελην.

ΕΡΜ. Τι φῃς; ȣχ ὁρᾳς βοΐδια κατα τον εμον ȣ̔τωσι δακτυλον εκ μεσων των πετρων προερχομενα, και τινα εκ τȣ σκοπελȣ καταθεοντα, καλαυροπα (17) εχοντα, και ανειργοντα, μη προσω διασκιδνασθαι την αγελην. (18)

ΗΡΑ. ʽΟρω νυν, ει γε (19) εκεινος εϛιν.

ΕΡΜ. Αλλ᾽ εκεινος. επειδη δε πλησιον εσμεν επι της γης, ει δοκει, καταϛαντες (20) βαδιζωμεν, ἱνα μη

(17) καλαυροπα) Καλαυροψ (f. vt recentiores fcribunt καλαβροψ) εϛι ποιμενικη ραβδος, μικρον εκατερωθεν υποσκαμβος. ην αφιασιν επι τα της αγελης αποσκιρτωντα. Schol.

(18) ανειργοντα - διασκ. τ. αγελην) apud Sil. Ital. VII. 438. Paris
errantes dumofa per auia tauros
arguta (reuocat) ad rofcida pafcua canna.
dedit ad h. l. Drakenb. p. 372. monumenta quaedam hoc Paridis iudicium exhibentia.

(19) γε) το γε hanc heic vim habet: *wenn es nehmlich* — —

(20) καταϛαντες) quamuis, Mercurium praeter et Cupidinem, reliqui Dii alati non fint, ob hanc tamen cauffam metaphoram hanc nauticam (νηα καταϛησαι Hom.) non reiicere et vulgare illud καταβαντες amplecti debebat MOSES *du Soul.* quadrat enim in omnes Deos, qui aerem quafi tranant. quod vel fi non quadraret, ex loco tamen Thucyd. (II. 1.) patet, το καταϛ. pene fic poni, eft

μη διαταραξωμεν αυτον ανωθεν εξ αφανες καθιπταμενοι.

ΗΡΑ. Ευ λεγεις, και ϐτω ποιωμεν. — Επει δε καταβεβηκαμεν, ὡρα σοι, ω Αφροδιτη, προϊεναι, και ἡγεισθαι ἡμιν της ὁδϐ· (21) συ γαρ, ὡς το εικος, εμπειρος ει τϐ χωριϐ, πολλακις, ὡς λογος, κατελθϐσα προς Αγχισην.

ΑΦΡ. Ου σφοδρα, ω Ἡρα, τϐτοις αχθομαι τοις σκωμμασιν.

ΕΡΜ. Αλλ' ϐν εγω ὑμιν ἡγησομαι. και γαρ αυτος ενδιετριψα τῃ Ιδῃ, ὁποτε ὁ Ζευς ηρα τϐ μειρακιϐ τϐ Φρυγος, και πολλακις δευρο ηλθον ὑπ' εκεινϐ καταπεμφθεις εις επισκοπην τϐ παιδος. και ὁποτε ηδη εν τῳ αετῳ ην, (22) συμπαριπταμην αυτῳ και συνεκϐφιζον τον καλον. και ειγε μεμνημαι, απο ταυ-

τησι

eſt ibi ita: καθιςαντες συνεχως επολεμϐν. Eſſet itaque ſenſus loci hic: *Wir wollen nun anfangen (auff der Erde) zu wandeln.*

(21) ἡγεισθαι ἡμ. τ. οδϐ) vid. not. 6. ad h. Dial.

(22) εν τ. αετῳ ην) phraſin hanc de Ioue mauult intelligi HEMSTERH., atque interpretatur: cum iam in aquila lateret Iupiter; referens ad το, ο Ζευς ηρα. „Quando iam in aquilam mutatus erat„ ſic etiam exprimit Vetus Verſio Diall. Lucia. a. 1515. Argent. editorum. Lubentius calculum adderem HEMSTERHVSIO, ſi το, εν τινι ειναι, ſic vſurpari exemplis, queis in aliis locis non parce vtitur, probatum iuiſſet. Adhuc ordini verborum et ſtructurae conuenientius mihi videtur, verba haec ita interpretari: cui, (Ganymedi) cum iam *aquilae adhaereret*, ad latus volabam etc.

τησι της πετρας αυτον ανηρπασεν. ὁ μεν γαρ τοτε ετυχε συριζων προς το ποιμνιον· καταπταμενος δε οπισθεν αυτȣ ὁ Ζευς, κουφως μαλα ταις ονυξι περιβαλων, και τω ςοματι τον επι τη κεφαλη τιαραν δακων, ανεφερε τον παιδα τεταραγμενον, και τω τραχηλω απεςραμμενω ες αυτον αποβλεποντα. (23) Τοτε ȣν εγω την συριγγα ελαβον· αποβλεβηκει γαρ αυτην ὑπο τȣ δεȣς. — αλλα γαρ ὁ διαιτητης ȣτοσι πλησιον, ὡςε προσειπωμεν αυτον. — Χαιρε, ω βȣκολε. (24)

ΠΑΡ. Ναι και συ γε, ω νεανισκε· τις δε ων δευρο αφιξαι προς ἡμας; η τινας ταυτας αγεις τας γυναικας; ȣ γαρ επιτηδειαι ορεοπολειν, ȣτω γε ȣσαι καλαι. (25)

ΕΡΜ. Αλλ' ȣ γυναικες εισιν· Ἡραν δε, ω Παρι, και Αθηναν και Αφροδιτην ὁρας, κᾀμε τον Ἑρμην απεςειλεν ὁ Ζευς. αλλα τι τρεμεις και ωχριας; και μη δεδιθι, χαλεπον γαρ ȣδεν. κελευει δε σε δικαςην γενεσθαι τȣ καλλȣς αυτων. επειδη γαρ, φησι, καλος τε

(23) τραχηλω απεςραμμενω ε. α. αποβλ.) signum pueri attoniti!

(24) Αλλα γαρ - χαιρε, ω βȣκ.) procedit semper Dialogus, idque efficit haec ars, vt rebus ipsis interesse nobis videamur, dum Deos Deasque accingentes se, proficiscentes, aduenientes videmus, colloquentes, consultantes audimus.

(25) ȣ γ. επιτ. ορεοπ. ȣ. γ. ȣσ. καλαι) laus, quam *pastor* dare potest maximam, haec est: pulchriores adhuc sunt, quam puellae, quae in *agris* degunt.

τε αυτος ει, και σοφος τα ερωτικα, σοι την γνωσιν επιτρεπω· τȣ δε αγωνος το αθλον ειση αναγνȣς το μηλον. (26)

ΠΑΡ. Φερ', ιδω, τι και βȣλεται· Ἡ ΚΑΛΗ, Φησι, ΛΑΒΕΤΩ. Πως αν ȣν, ω δεσποτα Ἑρμη, δυνηθειην εγω, θνητος αυτος και αγροικος ων, δικαστης γενεσθαι παραδοξȣ θεας, και μειζονος, η κατα βȣκολον; (27) τα γαρ τοιαυτα κρινειν των αβρων μαλλον και αστικων· το δ' εμον, αιγα μεν αιγος ὁποτερα η καλλιων, και δαμαλιν αλλης δαμαλεως, ταχ' αν δικασαιμι κατα την τεχνην. Αυται δε πασαι ὁμοιως τε καλαι, και ȣκ οιδ' ὁπως αν τις απο της ἑτερας επι την ἑτεραν μεταγαγοι την οψιν αποσπασας· ȣ γαρ εθελει αφιστασθαι ῥαδιως, αλλ' ενθα αν απερειση τοπρωτον, τȣτȣ εχεται και το παρον επαινει· καν επ' αλλο μεταβη, κακεινο καλον ὁρα, και παραμενει, και ὑπο τȣ πλησιον παραλαμβανεται· και ὁλως περικεχυται μοι το καλλος αυτων, και ὁλον περιειληφε με, και αχθομαι, (28) ὁτι μη και αυτος, ὡσπερ ὁ Αργος, ὁλω βλεπ-

(26) το μηλον) i. e. τȣ εν τω μηλω.

(27) η κατα βȣκολον) lis, quae maior eſt, quam vt paſtor eam dirimere poſſit. haec eſt vis τȣ κατα. fluxit forte ab illo Homerico, μαχομην κατ' εμαυτον. Ιλ. α. 271.

(28) και ολως - π'. μ. και αχθ.) aſpectus pulchritudinum harum ſenſim ſenſimque ita capit bonum Paridem, vt iam incipiat ενθȣσιαζειν. Non enarrat, quali Deae ſint facie, ſura, pede, dente, capillo, ſed dum, quae *ſentit*, dicit, optime laudat.

βλεπειν δυναμαι τῳ σωματι· (29) *δοκω δ' αν μοι καλως δικασαι, πασαις αποδους το μηλον. και γαρ αυ και τοδε, ταυτην μεν ειναι συμβεβηκε του Διος αδελφην και γυναικα· ταυτας δε, θυγατερας· πως ουν ου χαλεπη και ούτως* (30) *ἡ κρισις;*

ΕΡΜ. *Ουκ οιδα· πλην ουχ οἱον τε αναδυναι προς του Διος κεκελευσμενον.*

ΠΑΡ. *Ἑν τουτο, ω Ἑρμη, πεισαι* (31) *αυτας, μη χαλεπως εχειν μοι τας δυο τας νενικημενας, αλλα μονον των οφθαλμων ἡγεισθαι διαμαρτιαν.* (32)

ΕΡΜ. *Ὁυτω φασι ποιησειν· ὡρα δε σοι ηδη περαινειν την κρισιν.*

ΠΑΡ. *Πειρασομεθα· τι γαρ αν και παθοι τις;* (33) *εκεινο δε πρωτον ειδεναι βουλομαι, ποτερα εξαρκεσει σκοπειν αυτας ὡς εχουσιν, η και αποδυσαι δεησει προς το ακριβες της εξετασεως;*

ΕΡΜ. *Τουτο μεν σου αν ειη του δικαστου· και προσταττε, ὁπη και θελεις.*

ΠΑΡ.

(29) *ωσπ. Αργ. - τῳ σωμ.)* *Wiel. Die Nymphe*
— — wünſcht ſich izt hund.rt Augen,
Den Reiz, der ſie entzückt, auff einmal einzuſaugen.
Idris, Erſt. Geſ.

(30) *και ουτως)* nos diceremus: *auch von dieſer Seite.*

(31) *πεισαι)* *απαρεμφατον αντι προστακτικου*, cuius loquendi formulae amantes eſſe eos, qui Atticiſmi ſtudioſi ſunt, annotat HEMSTERH.

(32) *τ. οφθ. ἡγ. διαμαρτιαν)* ſatis bellus eſt Paris noſter!

(33) *τι γαρ αν και παθοι τις;)* nos: *denn was muß man nicht offt thun?*

ΠΑΡ. Ὁπη και θελω; γυμνας ιδειν βȣλομαι. (34)
ΕΡΜ. Αποδυτε, ω αὑται! συ δ' επισκοπει. εγω δ' απεστραφην.

ΑΦΡ. Καλως, (35) ω Παρι· και πρωτη γε αποδυσομαι, ὁπως μαθῃς, οτι μη μονας εχω τας ωλενας λευκας, μηδε τῳ βοωπις (36) ειναι μεγα φρονῳ, επισης δε ειμι πασα και ὁμοιως καλη.

ΑΘΗΝ.

(34) *γυμνας ιδειν βȣλομαι*) iam pro imperio agit!

(35) ΑΦΡ. *Καλως*-) MOSES SOL. tribuit haec verba Iunoni, HEMST. Veneri. Lis eo redit; an Lucianus Homerum hic pungere voluerit, an vero Venus Iunonem? ſi enim Iunoni tribuas, idem eſt, quaſi Iuno dixerit: vide, quaeſo, Paris, Homerum non accuratum formarum ſpectatorem fuiſſe, qui nihil mei, quam brachia et oculos praedicarit, cum tamen et aliis rebus beata ſim: ſi Veneri; res per ſe clara eſt, vlciſci Venerem *σκωμμα* illud ſuperius Iunonis. Vti igitur illud *απροσδιονυσον* h. l. videtur, ita hoc magis conueniens. 1. enim Deam Iocorum haud dedecet, reddere, quod ſenſit, *σκωμμα*. 2. aptius illa, quam plena grauitatis maieſtatisque Iuno, dixerit, *πρωτη γε αποδυσομαι*. 3. ſtatim poſt et de exuendo ceſtu mandata dat Minerua, quod clare ſatis arguit, Venerem modo locutam eſſe. Quae enim IENSIVS inſeruit [ΠΑΡ. *Αποδυθι και συ, Αφροδιτη*] habeat ſibi! — Ceterum recentiores tantum ſic mutaſſe, dicit MOSES. at mea, quam ſupra laudaui, *Argentinenſis* Ottomari *Nachtgall* (vel vt alio loco ſcripſit, *Aidi*) iam adſcripſit h. v. Veneri.

(36) *τ. ωλ. λευκ. μ. τ. βοωπις ει. μ. Φρ.*) Epith. Homer. eſſe quis neſcit? — Addam heic, quae MOS. SOL. ad h. l. dixit, quia forte tirones illius, quam mea auctoritate magis, *ὡς εικος*, mouentur: „ Homerum qui non verſarit, neque in hiſce ſalibus et iocis, neque fere in pleriſque h. ſcriptoris opuſculis, centeſimam quamque

ΑΘΗΝ. Μη προτερον αυτην αποδυσῃς, ω Παρι, πριν αν τον κεϛον αποθηται (Φαρμακις γαρ εϛι) (37) μη σε καταγοητευσῃ δι' αυτυ· καιτοι γε εχρην μηδ' ὑτω κεκαλλωπισμενην παρειναι, μηδε τοσαυτα εντετριμμενην χρωματα, καθαπερ ὡς αληθως ἑταιραν τινα, αλλα γυμνον το καλλος επιδεικνυειν.

ΠΑΡ. Ευ λεγεται το περι τυ κεϛυ· και αποθυ.

ΑΦΡ. Τι ὑν υχι και συ, Αθηνα, την κορυν αφελυσα ψιλην την κεφαλην επιδεικνυεις, αλλ' επισειεις τον λοφον, και τον δικαϛην φοβεις; η δεδιας, μη σοι ελεγχηται το γλαυκον των ομματων ανευ τυ φοβερυ βλεπομενον; (38)

ΑΘΗΝ. Ιδυ σοι ἡ κορυς ἁυτη αφῃρηται.

ΑΦΡ. Ιδυ σοι και ὁ κεϛος.

ΗΡ. Αλλ' αποδυσωμεθα. (39)

ΠΑΡ.

leporum partem intelliget. Vide quae ille de ceſtus potentia canat Ιλ. ξ. 214. At ſi non niſi monitus huiusmodi alluſiones perſpicias, iterum dico, pereunt tibi praecipuae LVCIANI gratiae! „

(37) Φαρμακις γαρ εϛι) bona vero Minerua!

(38) το γλ. τ. ομμ. αν. - βλεπ.) interpretor: an vereris, ne iudici diſpliceant caeſii illi oculi, qui apparent, ſi terribilem illam galeam capiti demſeris? γλαυκωπις Epith. Hom. Mineruae.

(39) αλλ' αποδ.) Detracta iam erant omnia, ceſtus adeo et galea, et Iuno adhuc, αλλ' αποδυσωμεθα! dicit. Miror vero, neminem Interpretum quicquam dixiſſe de lectione, quam exhibet Marg. Ai. W. αλλ' απεδυσαμεθα. „ Atqui, Paris, ait Iuno, factum iam eſt, quod iubebas, depoſitae ſunt veſtes! „ — quod mihi quidem verum eſſe videtur.

ΠΑΡ. Ω Ζευ τερασιε, της θεας, τυ καλλυς, της ἡδονης! (40) οἱα μεν ἡ παρθενος! ὡς δε βασιλικον ἀυτη και σεμνον απολαμπει, και αληθως αξιον τυ Διος! ὡς δε ὁρᾳ ἡδεως ἡδυ, και γλαφυρον τι και προσαγωγον εμειδιασεν! (41) αλλ᾽ ηδη μεν ἁλις εχω της ευδαιμονιας· ει δοκει δε, και ιδιᾳ καθ᾽ ἑκαστην επιδειν βυλομαι, ὡς νυν γε αμφιβολος ειμι, και υκ οιδα, προς ὁ, τι και αποβλεψω, παντη τας οψεις περισπωμενος.

ΑΦΡ. Ὀυτω ποιωμεν, (42)

ΠΑΡ. Απιτε υν ἀι δυο. συ δε, ω Ἡρα, περιμενε.

ΗΡ. Περιμενω. κἀπειδαν με ακριβως ιδης, ὡρα σοι και τἀλλα ηδη σκοπειν, ει καλα σοι και τα δωρα της ψηφυ της εμης. (43) ην γαρ με, ω Παρι, δικαστης ειναι καλην, ἁπασης εσῃ της Ασιας δεσποτης.

ΠΑΡ. Ουκ επι δωροις μεν τα ἡμετερα· πλην αλλ᾽ απιθι

(40) Ω Ζευ τερασιε — —) poteratne, quantum ſtupeat, ενεργεστερον exprimere, quam ſubita hac ad Iouem μεταστροφη? ſimiles μεταστροφας cf. in Ιλιαδ. θ. 236. Charit. lib. 3. p. 41. alibi. Maximam vim habet illa apud Xen. Cyr. Paed. vbi Cyrus amico, gratum ſe fore, dicturus: ſumme Iupiter, inquit, da mihi gratum eſſe!

(41) εμειδιασεν) Φιλομμειδης Epith. Hom.

(42) ὑτω ποιωμεν) placet ſtatim Veneri Iudicis mandatum, quippe ſola cum ſolo conſilium ſuum felicius poterat exſequi.

(43) ψηφυ της εμης) iudicium mihi ſecundum et favens, vt optime expl. HEMST.

απιθι· πεπραξεται γαρ, ἁπερ αν δοκῃ. — Συ δε προσιθι Αθηνα.

ΑΘΗΝ. Παρεστηκα σοι. Κᾀτα ην με, ω Παρι, δικαστης καλην, ουποτε ἡττων απει εκ της μαχης, αλλ' αει κρατων· πολεμιστην γαρ σε και νικηφορον απεργασομαι.

ΠΑΡ. Ουδεν, Αθηνα, δει με πολεμου και μαχης· ειρηνη γαρ, ὡς ὁρᾳς, τα νυν επεχει την Φρυγιαν τε και Λυδιαν, και απολεμητος ἡμιν ἡ του πατρος αρχη. Θαῤῥει δε, ου μειονεκτησεις γαρ, κ'αν μη επι δωροις δικαζωμεν· αλλ' ενδυθι ηδη, και επιθου την κορυν, ἱκανως γαρ ειδον. την Αφροδιτην παρειναι καιρος. (44)

ΑΦΡ. Αυτη (45) σοι εγω πλησιον, και σκοπει καθ' ἑν ακριβως, μηδεν παρατρεχων, αλλ' ενδιατριβων ἑκαστῳ των μελων. Ει δε θελεις, ω καλε, και ταδε μου ακουσον· εγω γαρ παλαι ὁρωσα σε νεον οντα και καλον, (46) ὁποιον ουκ οιδα ει τινα ἑτερον (47) ἡ

(44) την Αφρ. παρ. καιρος) iam hisce Veneri se aequiorem prodit Iudex.

(45) αυτη σοι εγω) cum scribat HEMSTERH. saepius sic solere Graecos, ουτος σοι εγω, vel ουτος τοι εγω, laudetque Iac. GRONOVIVM, qui proprietatem hanc loquendi ad *Arrianum* annotauerit, miror eum dicere, „ αυτη scribatur, an αὑτη parum refert. „

(46) εγω π. ορ. σε νεον ο. και καλον — —) quam multo reliquis duabus blandior est Venus!

(47) ουκ οιδα ει τινα ετερον -) Graecismus, quem et Romani adoptarunt, „ quo haud scio an Phrygum aliquis pulchrior sit „ αποφασις enim saepe plus valet τῃ προφασει.

ἡ Φρυγια τρεφει, μακαριζω μεν τȣ καλλȣς, αιτιωμαι δε το μη απολιποντα τȣς σκοπελȣς και ταυτασὶ τας πετρας κατ' ασυ ζην, αλλα διαφθειρειν το καλλος εν ερημια· τι μεν γαρ συ απολαυσειας των ορων; τι δ' αν απαναιντο τȣ σȣ καλλȣς αἱ βοες; επρεπε δε ηδη σοι γεγαμηκεναι, μη μεν τοι αγροικον τινα και χωριτιν, ὁιαι κατα την Ιδην αἱ γυναικες, αλλα τινα εκ της Ἑλλαδος (48), η Αργοθεν, η εκ Κορινθȣ, η Λακαιναν, ὁιαπερ ἡ Ἑλενη εστι, (49) νεα, και κατ' ȣδεν ελαττων (50) εμȣ, και το δη μεγιστον, ερωτικη. εκεινη γαρ ει και μονον θεασαιτο σε, ευ οιδ' εγω, παντα απολιπȣσα, και παρασχȣσα ἑαυτην εκδοτον, ἑψεται και συνοικησει· παντως δε και συ ακηκοας τι περι αυτης. (51)

ΠΑΡ. Ουδεν, ω Αφροδιτη, νυν δε ἡδεως αν ακȣσαιμι σȣ τα παντα διηγȣμενης.

ΑΦΡ.

(48) Ελλαδος) Ελλ. primum Theſſaliae pars, poſt tota Graecia dicta. Pauſan. in Λακων. p. 103. ed. Wechel. Ελληνες το συμπαν γενος απο της εν Θεσσαλια ποτε καλȣμενης ελλαδος. Ceterum Hom. Ελλ. καλλιγυναικα vocat Ιλ. β. 683.

(49) η Λακ. οιαπερ η Ελενη εστιν) ſenſim ſenſimque eo, quo volebat, venit. circumerrat, quaſi nullo conſilio, Graeciam omnem, dum tandem, veluti id non meditata, Lacedaemone ſubſiſtit.

(50) κατ' ȣδ. ελ. ωμȣ) ſat hoc laudis femineae!

(51) παντως δ. κ. σ. ακηκ. τ. π. αυτης) nos: *Sollteſt du gar nichts von ihr gehört haben?*

ΑΦΡ. Ἀυτη θυγατηρ μεν εςι Λῃδας, εκεινης της καλης, εφ' ἣν ὁ Ζευς κατεπτη κυκνος γενομενος.

ΠΑΡ. Ποια δε τις την οψιν;

ΑΦΡ. Λευκη μεν, οἵαν εικος εκ κυκνȣ γεγενημενην, ἁπαλη δε, ὡς εν ωῳ τραφεισα, γυμνας (52) τα πολλα και παλαιςικη. (53) και ȣτω δη τι (54) περισπȣδαςος, ὡςε και πολεμον αμφ' αυτῃ (55) γενεσθαι, τȣ Θησεως ακορον ετι ἁρπασαντος. (56) ȣ μην αλλ' επειδηπερ εις ακμην κατεςη, παντες οἱ αριςοι των Αχαιων επι την μνηςειαν απηντησαν. Προεκριθη δε Μενελαος τȣ Πελοπιδων γενȣς. ει δε θελεις, εγω σοι καταπραξομαι τον γαμον.

ΠΑΡ. Πως φης; τον της γεγαμημενης;

ΑΦΡ.

(52) γυμνας) nempe παλαιςικην exercens,
(More tuae gentis nitida dum nuda palaestra
Ludis et es nudis femina mista viris.
Ouid. Her. XVI. 150.)
atque haec legislator iussit. Tantum morum valet inscontia!

(53) παλαιςικη) huc referendum et illud, quod in Helenae Επιθαλαμιῳ canunt: (Theocr. XVIII. 22.)
— αμμες - πασαι συνομαλικες, ἃς δρομος ωυτος
Χρισαμεναις ανδρισι παρ Ευρωταο λοετροις — —
Ceterum malle Graecos παλαιςική dicere, quam παλαιςρ. Romanos contra, obseruat HEMSTERH.

(54) τι) saepe το τι sic πλεοναςικως, vt videtur. Theocr. Ειδ. α. 1.

(55) πολ. αμφ' αυτῃ) Homericum, Ιλ. γ. 157. τοιῇδ' αμφι γυναικι - αλγεα πασχειν. Hemsterh.

(56) τȣ Θησ. αω. ε. ἁρπ.) receperunt Castor et Pollux, fratres.

ΑΦΡ. Νεος ει συ και αγροικος, εγω δε οιδα, ὡς χρη τα τοιαυτα δραν.

ΠΑΡ. Πως; εθελω γάρ και αυτος ειδεναι.

ΑΦΡ. Συ μεν αποδημησεις, ὡς επι θεαν δη της Ἑλλαδος, κἀπειδαν αφικη ες την Λακεδαιμονα, οψεται σε ἡ Ἑλενη· τ'ουντευθεν δε εμον αν ειη το εργον, ὁπως ερασθησεται σε, και ακολεθησει.

ΠΑΡ. Τετ' αυτο και απιστον ειναι μοι δοκει, το, απολιπεσαν τον ανδρα, εθελησαι βαρβαρῳ και ξενῳ συνεκπλευσαι.

ΑΦΡ. Θαῤῥει τετε γε ἑνεκα, παιδε γαρ μοι εστον δυο καλω, Ἱμερος και Ερως· (57) τετω σοι παραδωσω ἡγεμονε της ὁδε γενησομενω. και ὁ μεν Ερως, ὁλος παρελθων εις αυτην, (58) αναγκασει την γυναικα εραν· ὁ δε Ἱμερος αυτῳ σοι περιχυθεις (59) τεθ' ὁπερ εστιν, ἱμερτον τε θησει και ερασμιον. και αυτη δε συμπαρεσα δεησομαι και των Χαριτων ακολεθειν· και ὑτως ἁπαντες αυτην αναπεισομεν. (60)

ΠΑΡ.

(57) παιδε - Ἱμερος κ. Ερως) suauissimi vero Veneris comites! quid autem legerit Elias Lubinus (Ιλ. γ. 440) quod et eos sibi comites *illic* adsciscat Paris, nescio.

(58) Ερως ολως παρ. εις αυτην) de Venere ipsa Flaccus, Carm. I. 19, 9.

— in me tota ruens Venus
Cyprum deseruit — —

Euripides (Hippol. v. 443.)

Κυπρις - εν πολλη ρυη.

(59) αυτῳ σοι περιχυθεις) elegans metaphora, cuius similes haud paucae HOMERO fluxere ab hoc verbo.

(60) και ετ. απαντες αυ. αναπεισ). quae tandem

 heic

ΠΑΡ. Ὁπως μεν ταυτα χωρησει, αδηλον, ω Αφροδιτη· πλην εγω γε ηδη της Ἑλενης, και εκ οιδ᾽ ὁπως και ὁραν αυτην οιομαι, και πλεω ευθυ της Ἑλλαδος, και τη Σπαρτη επιδημω, και επανειμι εχων την γυναικα, και αχθομαι, ὁτι μη παντα ταυτα ηδη ποιω. (61)

ΑΦΡ. Μη προτερον ερασθης, πριν εμε την προμνηστριαν και νυμφαγωγον αμειψασθαι τη κρισει. Πρεπει γαρ κάμε νικηφορον ἡμιν συμπαρειναι, και ἑορταζειν άμα και τες γαμες και τα επινικια. παντα γαρ ενεστι σοι, τον ερωτα, το καλλος, τον γαμον τετε τε μηλε πριασθαι.

ΠΑΡ. Δεδοικα, μη με αμελησεις μετα την κρισιν.

ΑΦΡ. Βελει επομοσωμαι. (62)

ΠΑΡ. Μηδαμως, αλλ᾽ ὑποσχε παλιν.

ΑΦΡ. Ὑπισχνεμαι δη σοι την Ἑλενην παραδωσειν γυναικα, και ακολεθησειν γε επ᾽ αυτην, (63) και αφιξασθαι παρ᾽ ἡμας εις το Ἰλιον· και αυτη παρεσομαι και συμπραξω τα παντα.

ΑΦΡ.

heic refiftat, vbi cum omni Amorum Gratiarumque exercitu pugnat Venus?

(61) και πλεω ευθυ - ηδη ποιω) quantum impatientiae prodit Paris!

(62) βελει επομοσωμαι) rell. edd. επομοσομαι, fed recte απομοσω· ponit HEMST. ob fubauditum ἱνα, et exemplis confirmat.

(63) επ᾽ αυτην) το επ᾽ αυτ. fufpectum eft Hemfterh. hinc coniicit aut επακτην aut επι αυτην. forte eiiciendum eft το επ᾽ fic et melius actum erit de τω αφιξασθαι, vbi το αυτην alias fub audiendum erat.

ΠΑΡ. Και τον Ερωτα και τον Ἱμερον και τας Χαριτας αξεις;

ΑΦΡ. Θαῤῥει! και τον Ποθον και τον Ὑμεναιον προς τȣτοις παραληψομαι.

ΠΑΡ. Ουκȣν επι τȣτοις διδωμι το μηλον, επι τȣτοις λαμβανε.

ΔΙΑΛ. Μ.' (Ω)

ΕΡΜΟΥ ΚΑΙ ΜΑΙΑΣ.

ΕΡΜ. Εϛι γαρ τις, ω μητερ, εν ȣρανῳ θεος αθλιωτερος εμȣ;

ΜΑΙ. Μη λεγε, ω Ἑρμη, τοιȣτον μηδεν. (1)

ΕΡΜ. Τι μη λεγω, ὁς τοσαυτα πραγματα εχω, μονος καμνων, και προς τοσαυτας ὑπηρεσιας διασπωμενος; (2) ἑωθεν μεν γαρ εξαναϛαντα σαιρειν το συμποσιον (3) δει, και διαϛρωσαντα την εκκλησιαν, ειτα ευθετησαντα ἑκαϛα παρεϛαναι τῳ Διι, και διαφερειν τας αγγελιας τας παρ᾽ αυτȣ ανω και κατω (4) ἡμεροδρομȣντα. και επανελθοντα ετι κεκονιμενον παρατιθεναι την αμβροσιαν. πριν δε τον νεω-

(1) μη λεγε -) Iouem fubueretur mater nimis timida.

(2) πρ. τοσ. υπηρεσ. διασπωμενος) in tot negotia *diftractus*, vt animum huc illuc *diuidere* in partesque *rapere* cogar varias.

(3) σαιρειν συμποσ.) vah! et coenaculum euerrere?

(4) ανω κ. κατω) ad has illasue puellas, quarum tot fere numerabat Iupiter, quot *Anacreon.*

νεωτητον τουτον οινοχοον (5) ἡκειν, και νεκταρ εγω ενεχεον· το δε παντων δεινοτατον, ὁτι μηδε νυκτος καθευδω μονος των αλλων, αλλα δει με και τοτε τῳ Πλουτωνι ψυχαγωγειν, και νεκροπομπον ειναι και παρεσαναι τῳ δικαςηριῳ. ου γαρ ἱκανα μοι τα της ἡμερας εργα, εν παλαισραις ειναι, κἀν ταις εκκλησιαις κηρυττειν, και ῥητορας εκδιδασκειν, αλλ᾽ ετι και νεκρικα συνδιαπραττειν μεμερισμενον. (6) Και τοι τα μεν της Ληδας τεκνα παρ᾽ ἡμεραν ἑκατερος εν ουρανῳ και εν ἁδου εισιν· εμοι δε καθ᾽ ἑκαςην ἡμεραν και ταυτα κἀκεινα ποιειν αναγκαιον. και οἱ μεν Αλκμηνης και Σεμελης ὑιοι, (7) εκ γυναικων δυςηνων γενομενοι, ευωχουνται αφροντιδες· ὁ δε Μαιας της Ατλαντος διακονουμαι αυτοις. και νυν αρτι ἡκοντα με απο Σιδωνος παρα της Καδμου θυγατρος (8), εφ᾽ ἡν πεπομφε με οψομενον ὁ, τι πραττει ἡ παις, μηδε αναπνευσαντα πεπομφεν αυθις ες το Αργος επισκεψομενον την Δαναην· ειτ᾽ εκειθεν ες Βοιωτιαν, φησιν, ελθων εν παροδῳ Αντιοπην ιδε. (9).

και

(5) *νεωτ. τ. οινοχοον*) Ganymeden, emtum vel equis immortalibus, vel viti aurea.

(6) *μεμερισμ.*) idem valet, quod *το διασπωμ.* ſupra.

(7) *και οι μεν αλκμ.* -) ſors vel laetior vel triſtior fit, noſtram ſi cum aliorum ſorte conferamus.

(8) *Καδμου θυγατρος*) Crediderim potius HEMSTERHVSIO, LVCIANVM lapſu memoriae Cadmi filiam, pro ſorore, poſuiſſe, quam vt ad abſtruſam fabulam cum GRAEVIO recurram.

(9) *μηδε αναπνευσαντα - Αντιοπ. ιδε*) dum querentem

και ὁλως απηγορευκα ηδη. ει γυν μοι δυνατον ην, ἡδεως αν ηξιωσα πεπρασθαι, (10) ὡσπερ οἱ εν γῃ κακως δουλευοντες.

ΜΑΙ. Εα ταυτα, ω τεκνον· χρη γαρ ἁπαντα ὑπηρετειν τῳ Πατρι, νεανιαν οντα. Και νυν, ὡσπερ επεμφθης, σοβει ες Αργος, ειτα εις την Βοιωτιαν, μη και πληγας βραδυνων λαβοις· οξυχολοι γαρ οἱ ερωντες.

tem inducit Mercurium, ſimul Iouem ερωτικον ridet LVCIANVS.

(10) ηξιωσα πεπρασθαι) Seruis apud Athenienſes, ſi nimis immiti atque intolerabili ſaeuitia premerentur, conceſſum fuit poſtulata venditione dominum mutare. HEMST.

NEKPI-

ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ. (1)

ΔΙΑΛ. Α.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΠΟΛΥΔΕΥΚΟΥΣ.

ΔΙΟ. Ω Πολυδευκες, εντελλομαι σοι, επειδαν ταχιστα ανελθης (2) (σον γαρ εστιν, οιμαι, το αναβιωναι αυριον) ην που ιδης Μενιππον τον Κυνα (ευροις δ' αν αυτον εν Κορινθῳ κατα το Κρανειον, η εν Λυκειῳ (3) των εριζοντων προς αλληλους φιλοσοφων καταγελωντα) (4) ειπειν προς αυτον, ότι σοι, ω Μενιππε, κελευει ὁ Διογενης, ει σοι ἱκανως τα ὑπερ γης καταγεγελασαι, ἡκειν ενθαδε πολλῳ πλειω επιγελασομενον· εκει μεν γαρ εν αμφιβολῳ σοι ετι ὁ γελως

(1) Et ad Plutonis regna perrumpit Satyrus LVCIANI, fed fic, vt a Styge inde rideat plerumque viventes. vfus heic eft inprimis vel *Diogene* vel *Menippo*. fic inexhauftus eft, in formas tam varias mutari doctus!

(2) επ. ταχ. ανελθης) quippe alterni, vt conftat, lucem videbant Caftor et Pollux.

(3) το Κραν. η εν Λυκειῳ) erat enim vterque locus, Corinthi ille, hic Athenis, aeque iuuenum luctantium, atque philofophorum difputantium palaeftra.

(4) εριζοντ. προς αλλ. φιλοσ. καταγελ.) non poterat deeffe heic ridendi materia non Menippis folum, fed et populo ipfi. at quare et fub dio altercabantur? noftri cautius intra parietes difputant.

ὁ γελως ην και πολυ το, τις γαρ ὁλως ειδε τα μετα τον βιον; ενταυθα δε ου παυση βεβαιως γελων, καθαπερ εγω νυν· και μαλιςα επειδαν ὁρας τους πλουσιους και σατραπας και τυραννους ὀυτω ταπεινους και ασημους, εκ μονης οιμωγης διαγινωσκομενους· και ὁτι μαλθακοι και αγεννεις εισι, μεμνημενοι των ανω· ταυτα λεγε αυτῳ. και προσετι εμπλησαμενον την πηραν ἡκειν θερμων τε πολλων, και ει που ευροι εν τη τριοδῳ Ἑκατης δειπνον κειμενον, η ωον εκ καθαρσιου, η τι τοιουτο. (5)

ΠΟΛ. Αλλ᾽ απαγγελω ταυτα, ω Διογενες· ὁπως δε ειδω μαλιςα, ὁποιος τις (6) εστι την οψιν;

ΔΙΟ. Γερων, φαλακρος, τριβωνιον εχων πολυθυρον; (7) ἁπαντι ανεμῳ αναπεπταμενον, και ταις επιπτυχαις των ρακιων ποικιλον. γελᾳ δ᾽ αει, και το πολλα τους αλαζονας τουτους φιλοσοφους επισκωπτει.

ΠΟΛ.

(5) κ. ει πȣ ευρ. ε. τ. τριοδ. δειπ. Εκ. —) saepius et quidem quouis fere mense, aedes, theatra, conciones etc. ouis, porcellis etc. solebant lustrare veteres. deuota erant haec καθαρσια Hecatae atque ponebantur in triuiis, quae vel attrectare quam maxime nefas erat. Monet itaque Menippum Diogenes, superstitiones hasce, quae plebi sacrae erant, non curare. de ritu hoc plura habent Interpp. ad h. l.

(6) οποιος τις) το τις non vacat. qualis *tandem* —

(7) πολυθυρον) πολυτρητον, vel vt ex EVRIPIDE dat HEMST. ρακη διοπτα και κατοπτα, vt solebant Cynici.

ΠΟΛ. Ῥαδιον ἑυρειν απο γε τουτων.

ΔΙΟ. Βουλει και προς αυτους εκεινους εντειλωμαι τι τους Φιλοσοφους;

ΠΟΛ. Λεγε· βαρυ γαρ ουδε τουτο.

ΔΙΟ. Το μεν ὁλον, παυσασθαι αυτοις παρεγγυα ληρουσι, και περι των ὁλων εριζουσι, και κερατα φυουσιν αλληλοις, και κροκοδειλους (8) ποιουσι, και τοιαυτα απορα ερωταν (9) διδασκουσι τον νουν. (10)

ΠΟΛ. Αλλ' εμε αμαθη και απαιδευτον ειναι φησουσι, κατηγορουντα της σοφιας αυτων.

ΔΙΟ. Συ δε οιμωζειν αυτοις παρ' εμου λεγε. (11)

ΠΟΛ. Και ταυτα, ω Διογενες, απαγγελω.

ΔΙΟ. Τοις πλουσιοις δε, ω φιλτατον Πολυδευκιον, (12) απαγγελε ταυτα παρ' ἡμων· τι ω ματαιοι, τον χρυσον φυλαττετε; τι δε τιμωρεισθε ἑαυτους λογιζομενοι τους τοκους, και ταλαντα επι ταλαντοις συντιθεντες, ὁυς χρη ἑνα οβολον εχοντας ἡκειν μετ' ολιγον;

ΠΟΛ. Ειρησεται και ταυτα προς εκεινους.

ΔΙΟ.

(8) κερατα — κροκοδειλους) genera syllogismorum captiosorum.

(9) ερωταν) sic Lat. suum *quaerere*, i. e. disceptare de re, inquirere in rem.

(10) τον νουν) nescio cur de recipiendo in textum τους νους dubitabat HEMST. quid enim est τον νουν? recepissem ego, nisi legem mihi fixissem, textum dare, vti edit. habet Reitziana.

(11) οιμωζειν λεγε)

Discipulorum inter (iube) plorare cathedras.
Hor. Serm. I. 10, 91.

(12) Φιλτ. Πολυδευκιον) en et Diogenem blandum!

ΔΙΟ. Αλλα και τοις καλοις γε και ισχυροις λεγε Μεγιλλῳ τε τῳ Κορινθιῳ και Δαμαξενῳ τῳ παλαιστῃ (13), ότι παρ' ἡμιν ουτε ἡ ξανθη κομη, ουτε τα χαροπα (14) η μελανα ομματα, η ερυθημα επι του προσωπου ετι εστιν, η νευρα ευτονα, η ωμοι καρτεροι· αλλα παντα μια ἡμιν κονις, Φασι, κρανια γυμνα του καλλους. (15)

ΠΟΛ. Ου χαλεπον ουδε ταυτα ειπειν προς τους καλους και ισχυρους.

ΔΙΟ. Και τοις πενησιν, ω Λακων, (πολλοι δ' εισι, και αχθομενοι τῳ πραγματι, και οικτειροντες την απορειαν) λεγε μητε δακρυειν μητ' οιμωζειν, διηγησαμενος την ενταυθα ισοτιμιαν· και ότι οψονται τους εκει πλουσιους ουδεν αμεινους αυτων. Και Λακεδαιμονιοις δε τοις σοις ταυτα, ει δοκει, παρ' εμου επιτιμησον, λεγων εκλελυσθαι αυτους. (16)

ΠΟΛ.

(13) Μεγιλλῳ τε Κορ. κ. Δαμ. τ. π.) celebres tum temporis homines ob pulchritudinem et robur.

(14) χαροπα) χαριεντα, ξανθα, γλαυκα, επιχαρη. Hesych.

(15) παντα μια ημ. κον - καλλους) haec quidem non fatis cohaerent. lubenter probarem coniecturam HEMST. παντα μια Μυκονος, Φ. κρ. γ. τ. κ. dummodo vnde *deriuatum* fit hoc prouerbium, aut *deriuari potuerit* apertum fit. f. interponendum aut loco τε Φασι ponendum eft το και, fic vt hic fenfus fit: in eundem nos omnes puluerem redigemur, et omnium crania aeque nuda erunt pulchritudine.

(16) εκλελυσθαι αυτους) folutis eos effe a priftina feueritate moribus.

ΠΟΛ. Μηδεν, ω Διογενες, περι Λακεδαιμονιων λεγε· ου γαρ ανεξομαι (17)· ἁ δε προς τους αλλους εφησθα, απαγγελω.

ΔΙΟ. Εασωμεν τουτους, επει σοι δοκει, συ δε ὁις προειπον απενεγκαι παρ' εμου τους λογους.

ΔΙΑΛ. Β. (Δ)

ΕΡΜΟΥ ΚΑΙ ΧΑΡΩΝΟΣ.

ΕΡΜ. Λογισωμεθα, ω πορθμευ, ει δοκει, ὁποσα μοι οφειλεις ηδη, ὁπως μη αυθις εριζωμεν τι περὶ αυτων.

ΧΑ. Λογισωμεθα, ω Ἑρμη· αμεινον γαρ ὡρισθαι περι αυτων, και απραγμονεστερον.

ΕΡ. Αγκυραν εντειλαμενῳ εκομισα πεντε δραχμων.

ΧΑ. Πολλου λεγεις.

ΕΡ. Νη τον Αϊδωνεα των πεντε ωνησαμην; και τροπωτηρα (1) δυο οβολων.

ΧΑ. Τιθει πεντε δραχμας, και οβολους δυο.

ΕΡ.

(17) ανεξομαι) f. ανὲξονται. Ita sunt perditi, vt vel *grauiter ferant*, si reprehendantur. quid enim recusasset Pollux haec a Diogene illis dicere? an quod ipsi metuendum quid erat a ciuibus? an coecum in vitia ciuium reddebat amor patriae?

(1) τροπωτηρα) τροπ. ὁ κατὲχων την κωπην δεσμος.

ΕΡ. Και ακεστραν ὑπερ του ἱσιου· (2) πεντε οβολους εγω κατεβαλον. (3)

ΧΑ. Και τουτους προστιθει.

ΕΡ. Και κηρον ὡς επιπλασαι του σκαφιδιου τα ανεωγοτα, και ἡλους δε, και καλωδιον, αφ' ὁυ την ὑπεραν (4) εποιησας, δυο δραχμων ἁπαντα.

ΧΑ. Ευγε, αξια (5) ταυτα ωνησω.

ΕΡ. Ταυτα εστιν, ει μη τι αλλο ἡμας διελαθεν εν τω λογισμω. ποτε δ' ουν ταυτ' αποδωσειν φης;

ΧΑ. Νυν μεν, ω Ἑρμη, αδυνατον· ην δε λοιμος τις, η πολεμος καταπεμψη αθροους τινας, ενεσται τοτε αποκερδαναι εν τω πληθει παραλογιζομενον τα πορθμια.

ΕΡ. Νυν ουν εγω καθεδουμαι τα κακιστα ευχομενος γενεσθαι, ὡς αν απο τουτων απολαυοιμι.

ΦΑ. Ουκ εστιν αλλως, ω Ἑρμη, νυν δ' ολιγοι, ὡς ὁρας, αφικνουνται ἡμιν· ειρηνη γαρ.

ΕΡ. Αμεινον ὁυτως, ει και ἡμιν παρατεινοιτο ὑπο σου το οφλημα· πλην αλλ' ὁι μεν παλαιοι, ω Χαρων, οισθα, ὁιοι παρεγινοντο ανδρειοι ἁπαντες, αἱμα-

(2) υπ. τ. ις) sub. ωνησαμην.

(3) κατεβαλον) λαμβανειν et καταλαμβανειν, vti GRAEVIVS obseruat, Graecis, inprimis ARISTOPHANI, saepe est *emere*, comparare. Hor. Serm. II. 7. 106.

(4) ὑπεραν) funis, quibus antenna suspenditur, vel vt ex CAES. dat HEMST. f. qui antennas ad malos destinabat.

(5) αξια) αξ. denotat et το πολυτελες et ευωνον,

ματος αναπλεω, και τραυματιαι οι πολλοι. (6) νυν δε η (7) Φαρμακῳ τις ὑπο του παιδος αποθανων, η ὑπο της γυναικος, η ὑπο τρυφης εξῳδηκως την γαστερα, και τα σκελη· ωχροι γαρ άπαντες, και αγεννεις, ουδε ὁμοιοι εκεινοις. οι δε πλειστοι αυτων δια χρηματα ἡκουσιν επιβουλευοντες αλληλοις, ὡς εοικασι.

ΧΛ. Πανυ γαρ περιποθητα εστι ταυτα. (8)

ΕΡ. Ουκουν ουδ' εγω δοξαιμι αν ἁμαρτανειν πικρως απαιτων τα οφειλομενα παρα σου.

ΔΙΑΛ. Γ. (Κ)

ΧΑΡΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ ΚΑΙ ΝΕΚΡΩΝ ΔΙΑΦΟΡΩΝ. (1)

ΧΑΡ. Ακουσατε, ὡς εχει ἡμιν τα πραγματα. Μικρον μεν ὑμιν, ὡς ὁρατε, το σκαφιδιον και ὑποσαθρον εστι, και διαῤῥει τα πολλα, και ην τραπη επι

(6) οιοι παρεγ. ανδρ. -) *magnae* et *olim* maiorum *nostrorum* descendebant *vmbrae*!

(7) νυν δε η Φαρμ. - -) crimina haec, quae heic quasi aliud agens perstringit, acrius persequitur in aliis Dialogis.

(8) Πανυ γ. περιπ. ε. τ.) Ειρωνικως laudat pecuniam, dicitque Charon fere haec: quasi non tanti esset, ob pecuniam haec et mille alia patrare crimina!

(1) Stat Samosatensis ad Styga, et recenset aduentantes ibi vmbras; atque sub *Menippi* maxime persona, ridet.

επι θατερα, οιχησεται περιτραπεν· ὑμεις δε τοσουτοι ἁμα ἡκετε, πολλα επιφερομενοι ἑκαςος· ην ουν μετα τουτων εμβητε, δεδια, μη ὑστερον μετανοησετε και μαλιςα ὁποσοι νειν ουκ επιςασθε.

ΝΕΚ. Πως ουν ποιησαντες ευπλοησομεν;

ΧΑΡ. Εγω ὑμιν φρασω. γυμνους επιβαινειν χρη, τα περιττα ταυτα παντα επι της ηϊονος καταλιποντας· μολις γαρ αν και ουτω δεχαιτο ὑμας το πορθμειον· σοι δε, ω Ἑρμη (2), μελησει το απο τουτου μηδενα παραδεχεσθαι αυτων, ὁς αν μη ψιλος η, και τα επιπλα (3), ὡσπερ εφην, αποβαλων. παρα δε την αποβαθραν ἑςως διαγινωσκε αυτους, και αναλαμβανε, γυμνους επιβαινειν αναγκαζων.

ΕΡ. Ευ λεγεις· και ουτω ποιησομεν. Ὁυτοσι τις ὁ πρωτος εστι;

ΜΕΝ. Μενιππος εγωγε. (4) αλλ' ιδου ἡ πηρα μοι, ω Ἑρμη, και το βακτρον ες την λιμνην απερριφθων· τον τριβωνα δε ουδ' εκομισα, ευ ποιων. (5)

ΕΡ. Εμβαινε, ω Μενιππε, ανδρων αριστε, (6) και την προεδριαν εχε παρα τον κυβερνητην εφ' ὑψηλου, ὡς

(2) ω Ερμη) qui es ψυχαγωγος, πομπαιος, νεκροπομπος, κ. τ. λ.

(3) επιπλα) τα εξ επιπολης σκευη.

(4) Μεν. εγωγε) ruit primus ad nauiculam mortis contemtor, dum alii cunctantur.

(5) ουδ' εκομ. ευ ποιων) i. e. ευ εποιησα ου κομιζων.

(6) ανδρ. αριςε) fauet huic inprimis LVCIANVS, quod aeque φιλοσοφων πωγωνα, diuitum superbiam, ceterorum vanitatem infectabatur.

ὡς επισκοπης ἁπαντας. Ὁ καλος δε ὁυτος, τις εστι;

ΧΑΡ. Χαρμολεως ὁ Μεγαρικος, (7) επερασος, ὁυ το Φιλημα (8) διταλαντον ην.

ΕΡ. Αποδυθι τοιγαρουν το καλλος, και τα χειλη αυτοις Φιλημασι και την κομην την βαθειαν, και το δερμα ὁλον. εχει καλως, ευζωνος ει· επιβαινε ηδη. Ὁ δε την πορφυριδα ὁυτοσι και το διαδημα, (9) ὁ βλοσυρος, τις ων τυγχανεις;

ΛΑΜ. Λαμπιχος, Γελωων τυραννος.

ΕΡ. Τι ουν; ω Λαμπιχε, τοσαυτα εχων παρει;

ΛΑΜ. Τι ουν; εχρην, ω Ἑρμη, γυμνον ἡκειν τυραννον ανδρα;

ΕΡ. Τυραννον μεν ουδαμως, νεκρον δε μαλα· ὡστε αποθου ταυτα.

ΛΑΜ. Ιδου σοι ὁ πλουτος απερριπται.

ΕΡ. Και τον τυφον απορριψον, ω Λαμπιχε, και την ὑπεροψιαν· βαρησει γαρ το πορθμειον συνεμπεσοντα.

ΛΑΜ.

(7) Χαρμολ. ὁ Μεγ.) notus *tum* forte ob formae praestantiam.

(8) το Φιλημα) non habebat BOVRDELOTIVS, cur abstrusi quid in his Φιλημασι quaereret. mox ait Mercurius, τα χειλη αυτοῖς Φιλημασι.

(9) την πορφυρ. - διαδημα) sub. vt placet IENSIO, διαδεδεμενος. frequens Nostro ellipsis, quam exemplis (Deor. Concil. 9. Contempl. c. 14. Catapl. 4. al.) confirmant IENS. et HEMST.

ΛΑΜ. Ουκουν· αλλα το διαδημα εασον με εχειν (10) και την εφεστριδα. (11)

ΕΡ. Ουδαμως· αλλα και ταυτα αφες.

ΛΑΜ. Ειεν. Τι ετι; παντα γαρ αφηκα, ὡς ὁρας.

ΕΡ. Και την ωμοτητα, και την ανοιαν, και την ὑβριν, και την οργην, και ταυτα αφες.

ΛΑΜ. Ιδου σοι ψιλος ειμι.

ΕΡ. Εμβαινε ηδη. — Συ δε ὁ παχυς, ὁ πολυσαρκος, τις ει;

ΛΑΜ. Δαμασιας ὁ αθλητης.

ΕΡ. Ναι εοικας, οιδα γαρ σε πολλακις εν ταις παλαιστραις ιδων.

ΛΑΜ. Ναι, ω Ἑρμη· αλλα παραδεξαι με γυμνον οντα.

ΕΡ. Ου γυμνον, ω βελτιστε, τοσαυτας σαρκας περιβεβλημενον· ὡστε αποδυθι αυτας, επει καταδυσεις το σκαφος τον ετερον ποδα ὑπερθεις μονον· αλλα και τους στεφανους, τουτους αποῤῥιψον και τα κηρυγματα.

ΛΑΜ. Ιδου σοι γυμνος, ὡς ὁρας, αληθως ειμι και ισοστασιος τοις αλλοις νεκροις.

ΕΡ. Οὑτως αμεινον αβαρη ειναι, ὡστε εμβαινε. Και συ δε τον πλουτον αποθεμενος, ω Κρατων, και την μαλακιαν δε προσετι και την τρυφην, μηδε τα ενταφια (12) κομιζε, μηδε τα των προγονων αξιω-

(10) εασον με εχ.) et vmbrarum vult tyrannus esse?
(11) εφεστριδα) το επι τοις ιματιοις επιβλημα.
(12) τα ενταφια) sub. ενδυματα.

ματα· καταλιπε δε και γενος και δοξαν και ει ποτε σε ἡ πολις ανεκηρυξεν (ευεργετην δηλονοτι) (13), και τας των ανδριαντων επιγραφας, μηδε, ὁτι μεγαν ταφον επι σοι εχωσαν, λεγε· βαρυνει γαρ και ταυτα μνημονευομενα.

ΧΑΡ. (14) Ουχ ἑκων μεν, αποῤῥιψω δε· τι γαρ αν και παθοιμι;

ΕΡ. Βαβαι· (15) συ δε ὁ ενοπλος, τι βουλει; η τι το τροπαιον τουτο φερεις;

ΣΤΡΑΤ. Ὁτι ενικησα, ω Ἑρμη, και ηριστευσα (16) και ἡ πολις ετιμησε με.

ΕΡ. Αφες εν γη το τροπαιον· εν ᾁδου γαρ ειρηνη, και ουδεν ὁπλων δεησει. — Ὁ σεμνος δε ούτος (17) απο γε του σχηματος, και βρενθυομενος (18), ὁ τας οφρυς επηρκως, ὁ επι των φροντιδων, τις εστιν, ὁ τον βαθυν πωγωνα καθειμενος;

ΜΕΝ.

(13) ευεργετην δηλονοτι) vncis inclusi haec verba, quod probabiliter e margine irrepserunt.

(14) ΧΑΡ.) quid heic Charon? sine dubio vitium est pro ΚΡΑΤ.

(15) βαβαι) ipsum Mercurium bellatoris huius aspectus percellit terribilis,

(16) ηριστευσα) το αριστος κυριως μεν επι των κατα πολεμον ευδοκιμαντων αν ρηθειη. Hellad. Chrestom. p. 17. ed. Meurs.

(17) ὁ σεμνος δε ουτος - -) diutius ceteris detinet philosophum huncce, quippe huic hominum generi maxime grauis.

(18) και βρενθυομενος) i. e. αλαζων. multus est HEMST. in origine et significatione huius vocis, obseruatque recentiores magis, quam priscos Graeciae scriptores vsum eius amare.

ΜΕΝ. (19) Φιλοσοφος τις, ω Ἑρμη· μαλλον δε γοης και τερατειας μεςος· ὡςε αποδυσον και τουτον· οψει γαρ πολλα και γελοια ὑπο τῳ ἱματιῳ κρυπτομενα.

ΕΡ. Καταθου συ το σχημα πρωτον· ειτα και ταυτι παντα. Ω Ζευ, ὁσην μεν την αλαζονειαν κομιζει, ὁσην δε αμαθιαν, και εριν και κενοδοξιαν, και ερωτησεις απορους, και λογους ακανθωδεις και εννοιας πολυπλοκους, αλλα και ματαιοπονιαν μαλα πολλην, και ληρον ουκ ολιγον, και ὑθλους και μικρολογιαν· νη Δια και χρυσιον γε τουτι, και ἡδυπαθειαν δε, και αναισχυντιαν, και οργην, και τρυφην, και μαλακιαν· (20) ου ληληθε γαρ με, ει και μαλα περικρυπτεις αυτα. και το ψευδος δε αποθου, και τον τυφον, και το οιεσθαι αμεινω ειναι των αλλων. ὡς ειγε παντα ταυτα εχων εμβαινοις, ποια πεντηκοντορος δεξαιτο αν σε; (21)

ΦΙΛ. Αποτιθεμαι τοι νυν αυτα, επει περ ὁυτω κελευεις. (22)

ΜΕΝ.

(19) MEN.) Tacuit adhuc *Menippus*. ſed iam Philoſophus eum excitat.

(20) οσην μεν αλαζονειαν κομιζει - και τρυφην και μαλακιαν) bone Deus! quot quantaque *ſub vno* latent *pallio!*

(21) ποια πεντηκ. δεξ. α. σ.) et vnde tum *tantarum* nauium ſatis?

(22) επειπερ κτ. κελ.) iuſſus demum, non lubenti animo.

ΜΕΝ. Αλλα και τον πωγωνα τουτον αποθεσθω, ω Ἑρμη, βαρυν τε οντα, και λασιον, ὡς ὁρας· πεντε μνων τριχες εισι τ' ουλαχιστον.

ΕΡ. Ευ λεγεις· αποθου και τουτον.

ΦΙΛ. Και τις ὁ αποκειρων εσαι; (23)

ΕΡ. Μενιππος ὁυτοσι, λαβων πελεκυν των ναυπηγικων, (24) αποκοψει αυτον, επικοπῳ (25) τῃ αναβαθρᾳ χρησαμενος.

ΜΕΝ. Ουκ, ω Ἑρμη, αλλα πριονα μοι αναδος· γελοιοτερον γαρ τουτο.

ΕΡ. Ὁ πελεκυς ἱκανος. (26)

ΜΕΝ. Ευγε· (27) ανθρωπινωτερον γαρ νυν αναπεφηνας, αποθεμενος αυτου (28) την κιναβραν· βουλει μικρον αφελωμαι και των οφρυων;

ΕΡ.

(23) τις ὁ αποκ. εσαι) latebras quaerit.

(24) πελεκυν των ναυπηγικων) pr. πελ. ναυπηγικην, quam loquendi formulam, Atticis fere, vt HEMST. ait, propriam, tirones fibi notent.

(25) επικοπῳ) fub ξυλω· „imponet barbam fcalae nauali, eaque fuper incidet.„

(26) ὁ πελ. ικανος) coercet Menippi petulantiam Mercurius.

(27) ΜΕΝ. Ευγε -) Eiicit heic Menippum Hemfterhufius, tribuitque haec vfque ad το βελει Mercurio. vix putem neceffariam hanc mutationem. Menippo certe conuenientius videtur effe, gratulari Philofopho de reftituta hominis forma. reliqua dehinc a βελει inde dicit conuerfus ad Mercurium. Eft enim omnis fcena haec quafi ob oculos pofita.

(28) αυτȣ) recte GVYETVS expl. αυτοθι, δεικτικως.

ΕΡ. Μαλιϛα· ὑπερ το μετωπον γαρ και ταυτας επηρκεν, ουκ οιδ' εφ' ὁτῳ ανατεινων ἑαυτον. Τι τουτο; και δακρυεις, ω καθαρμα, και προς θανατον αποδειλιας; (29) εμβηθι δ'ουν.

ΜΕΝ. Ἑν ετι το βαρυτατον ὑπο μαλης (30) εχει.

ΕΡ. Τι, ω Μενιππε;

ΜΕΝ. Κολακειαν, ω Ἑρμη, πολλα εν τῳ βιῳ χρησιμευσασαν αυτῳ.

ΦΙΛ. Ουκουν και συ, ω Μενιππε, αποθου την ελευθεριαν, και παῤῥησιαν, και το αλυπον, και το γενναιον, και τον γελωτα· μονος γουν των αλλων γελας.

ΕΡ. Μηδαμως· αλλα και εχε ταυτα, κουφα γε και πανυ ευφορα οντα, και προς τον καταπλουν χρησιμα. — Και ὁ ῥητωρ δε συ, αποθου των ῥηματων την τοσαυτην απεραντολογιαν, και αντιθεσεις, και παρισωσεις, (31) και περιοδους, και βαρβαρισμους, και τε αλλα βαρη των λογων. (32)

ΡΗ. Ην ιδου αποτιθεμαι.

ΕΡ. Ευ εχει· ὡϛε λυε τα απογεια, την αποβαθραν ανελωμεθα, το αγκυριον ανεσπασθω· πετασον

(29) προς θανατον αποδ.) cum forte toties contra mortis terrores declamasset.

(30) ὑπο μαλης) sub ala, i. e. clam, acculte.

(31) παρισωσεις) anxie Sophistae membra membris *paria* fingebant.

(32) βαρη των λογων) i. e. αλλας λογους βαρεις.

σον το ἴσιον, ενθυνε, ω πορθμευ, το πηδαλιον· ευ παθωμεν. Τι οιμωζετε, ω ματαιοι, και μαλιςα ὁ Φιλοσοφος συ, (33) ὁ αρτιως τον πωγωνα δεδηωμενος. (34)

ΦΙΛ. Ὁτι, Ἑρμη, αθανατον ῳμην την ψυχην ὑπαρχειν.

ΜΕΝ. Ψευδεται· αλλα γαρ εοικε λυπειν αυτον.

ΕΡ. Τα ποια;

ΜΕΝ. Ὁτι μηκετι δειπνησει πολυτελη δειπνα, μηδε νυκτωρ εξιων, ἁπαντας λανθανων, τῳ ἱματιῳ την κεφαλην κατειλησας, περιεισιν εν κυκλῳ τα χαμαιτυπεια· και ἑωθεν εξαπατων τους νεους επι τῃ σοφιᾳ αργυριον ληψεται. (35) ταυτα λυπει αυτον.

ΦΙΛ. Συ δε, ω Μενιππε, ουκ αχθῃ αποθανων;

ΜΕΝ. Πως, ὃς εσπευσα επι τον θανατον καλεσαντος μηδενος. Αλλα μεταξυ λογων, ου κραυγη τις ακουεται, ὡσπερ τινων απο γης βοωντων;

ΕΡ. Ναι, ω Μενιππε, ουκ αφ' ἑνος γε χωρου· αλλ' οἱ μεν ες την εκκλησιαν συνελθοντες ασμενοι γελωσι παντες επι τῳ Λαμπιχου θανατῳ, και ἡ γυνη αυτου συνεχεται (36) προς των γυναικων, και τα παι-

(33) ο Φιλοσ. συ) vid. not. 17. ad h. Dial.

(34) δεδηωμενος) i. e. πεπορθημενος.

(35) νυκτωρ εξιων - ληψεται) sic ille de puella, *die Bei Tage wie Seneca spricht, bei Nacht Quartillen gleichet.*

(36) συνεχεται) constricta comprehensaque tenetur, vti expl. HEMST.

παιδια νεογνα οντα, ὁμοιως κἀκεινα ὑπο των παιδων βαλλεται αφθονοις τοις λιθοις· αλλοι δε Διοφαντον τον ῥητορα επαινουσιν εν Σικυωνι επιταφιους λογους διεξιοντα επι Κρατωνι τουτῳ. Και νη Δια γε, ἡ Δαμασιου μητηρ κωκυουσα εξαρχει του θρηνου συν γυναιξιν επι τῳ Δαμασιᾳ· σε δε ουδεις, ω Μενιππε, δακρυει, καθ' ἡσυχιαν δε κεισαι μονος.

ΜΕΝ. Ουδαμως, αλλ' ακουσῃ των κυνων μετ' ολιγον ωρυομενων οικτιστον επ' εμοι, και των κορακων τυπτομενων τοις πτεροις, ὁποτ' αν συνελθοντες θαπτωσι με. (37)

ΕΡ. Γενναδας ει, ω Μενιππε, αλλ' επει καταπεπλευκαμεν, ὑμεις μεν απιτε προς το δικαστηριον, ευθειαν εκεινην (38) προϊοντες· εγω δε και ὁ πορθμευς αλλους μετελευσομεθα.

ΜΕΝ. Ευπλοειτε, ω Ἑρμη. προϊωμεν δε και ἡμεις. τι ουν ετι και μελλετε; Παντως δικασθηναι δεησει· και τας καταδικας φασιν ειναι βαρειας, τροχους, και γυπας, και λιθους. δειχθησεται δε ὁ εκαστου βιος. (39)

ΔΙΑΛ.

(37) των κορ. - συνελθ. θαπτ. με) aliis nihil prius in votis erat, quam fepulturae frui honore, Menippus let hunc non curat.

(38) ευθ. εκ.) fub. ὁδον.

(39) δειχθησ. δ. εκ. βιος) graui fententia claudit.

ΔΙΑΛ. Δ. (Λ)

ΚΡΑΤΗΤΟΣ ΚΑΙ ΔΙΟΓΕΝΟΥΣ. (1)

ΚΡΑΤ. Μοιριχον τον πλȣσιον εγινωσκες, ω Διογενες, τον πανυ πλȣσιον, τον εκ Κορινθȣ, τον τας πολλας ὁλκαδας (2) εχοντα; ȣ̓ ανεψιος Αρισεας, πλȣσιος και αυτος ων, το Ὁμηρικον εκεινο ειωθει επιλεγειν, η μ᾽ αναειρ᾽ η εγω σε. (3)

ΔΙΟΓ. Τινος ἑνεκα, ω Κρατης, εθεραπευον αλληλȣς;

ΚΡΑΤ. Τȣ κληρȣ ἑνεκα ἑκατερος, ἡλικιωται οντες· και τας διαθηκας ες το φανερον ετιθεντο, Αρισεαν μεν ὁ Μοιριχος, ει προαποθανοι, δεσποτην αφιεις των ἑαυτȣ παντων, (4) Μοιριχον δε ὁ Αρισεας, ει προαπελθοι αυτȣ. ταυτα μεν εγεγραπτο· οἱ δε εθεραπευον αλληλȣς ὑπερβαλλομενοι τη κολακεια· και οἱ μαντεις, ειτε (5) απο των αςρων τεκμαιρομενοι το μελλον, ειτε απο των ονειρατων, ὡςγε Χαλδαιων παιδες,

(1) Eae demum funt verae diuitiae, ea hereditas optima, quae nos et in Plutonis regna fequantur, fapientia, ftudium veri, frugalitas, animus, quem nec vultus inftantis tyranni nec vel mundi ruinae oppreſſerint.

(2) ὁλκαδας) fub ναυς.

(3) Ομηρικον -) fic Aiax ad Vlyffem, Ιλ. 23. 724. Vterque quippe haereditatem alterius inhiabat.

(4) παντων) fub. κτηματων, vel χρηματων.

(5) ειτε - ειτε) facile crediderim HEMSTERHVSIO, ponendum effe, οιτε - οιτε, fed non item de fequenti ὡςγε, quod ita interpretor, *quales*, futuri vel ex fideribus vel ex fomniis praeuidendi, vates funt Chaldaei.

δες, αλλα και ὁ Πυθιος αυτος, αρτι μεν Αριςει (6) παρειχε το κρατος, αρτι δε Μοιριχῳ· και τα ταλαντα ποτε μεν επι τυτον, νυν δ' επ' εκεινον ἐῤῥεπε. (7)

ΔΙΟΓ. Τι ουν περας εγενετο, ω Κρατης; ακουσαι γαρ αξιον.

ΚΡΑΤ. Αμφω τεθνασιν επι μιας ἡμερας· οἱ δε κληροι ες Ευνομιον και Θρασυκλεα περιηλθον, αμφω συγγενεις οντας, ουδε πωποτε προμαντευομενους, ουτω γενεσθαι ταυτα. διαπλεοντες γαρ απο Σικυωνος ες Κιῤῥαν, κατα μεσον τον πορον πλαγιῳ περιπεσοντες τῳ Ιαπυγι, (8) ανετραπησαν.

ΔΙΟΓ. Ευ εποιησαν. (9) Ἡμεις δε ὁποτε εν βιῳ ημεν, ουδεν τοιουτον ενενοουμεν περι αλληλων· ουτε πωποτε ευξαμην, Αντισθενην αποθανειν, ὡς κληρονομησαιμι της βακτηριας αυτου (ειχεν δε πανυ καρτεραν εκ κοτινου ποιησαμενος) ουτε, οιμαι, συ, ω Κρατης, επεθυμεις κληρονομειν αποθανοντος εμου τα κτηματα, και τον πιθον και την πηραν, χοινικας δυο θερμων εχουσαν. (10)

ΚΡΑΤ.

(6) Αριςει) quaſi ab Αριςευς.

(7) τα ταλ. ποτε μεν επι τυτ. - ῥεῤῥεπε) reſpexit ſine dubio L. ad lances illas Homericas, quas Iupiter ſuſtinet, fata imponens diuerſa Achillis Hectorisque. locus eſt Ιλ. 22, 209.

(8) Ιαπυγι) Ιαπυξ vel ex Flacco notus. Carm. I. 3, 4. III. 27, 19.

(9) ευ εποιησαν) ſic et nos: *das haben ſie gut gemacht!*

(10) ἐχουσαν) *habentis* vertit Hemſt. melius f. *capientis*,

ΚΡΑΤ. Ουδεν γαρ μοι τουτων εδει, αλλ' ουδε σοι, ω Διογενες· ά γαρ εχρην, συ τε Αντισθενους εκληρονόμησας, και εγω σου, πολλῳ μειζω και σεμνοτερα των Περσων αρχης. (11)

ΔΙΟΓ. Τινα ταυτα φης;

ΚΡΑΤ. Σοφιαν, αυταρκειαν, αληθειαν, παρρησιαν, ελευθεριαν. (12)

ΔΙΟΓ. Νη Δια, μεμνημαι τουτον διαδεξαμενος τον πλουτον παρ' Αντισθενους, και σοι ετι πλειω καταλιπων. (13)

ΚΡΑΤ. Αλλ' οἱ αλλοι ημελουν των τοιουτων κτηματων, και ουδεις εθεραπευεν ἡμας, κληρονομησειν προσδοκων· ες δε το χρυσιον παντες εβλεπον. (41)

ΔΙΟΓ. Εικοτως· ου γαρ ειχον, ενθα δεξαιντο τα τοι-

(11) μειζω κ. σ. των Π. αρχης) sapiens enim vno minor eſt Ioue, diues,

Liber, honoratus, pulcher, Rex denique Regum.

Hor. Ep. I. 1, 106.

(12) Σοφ. - ελευθεριαν) Tradidit nobis denuo pugillaria ſua, ſapientiae plena, Philoſophus *Sinopenſis*, per manus Viri illius, quo vix eſt quisquam amabilior; apertaque iterum eſt haec ſchola, vbi recte de multis, quae occurrunt, rebus iudicare diſces. Ite, intrate, cui lubet. Commodum eſt!

(13) ετι πλειω καταλ.) non eam ſolum reddidit Diogenes philoſophiam, quam acceperat ab Antiſthene, auxit vero etiam et amplificauit. *ſeruilis* enim *ingenii* eſt, cum magiſtro duntaxat ſapere!

(14) εις το χρυσ. βλεπ.) βλεπειν heic vim habet, του affectare, inhiare. ſic et nos, *er ſiehl nur auffs Geld.*

τοιαυτα παρ' ἡμων, διερρυηκοτες ὑπο τρυφης, καθαπερ τα σαθρα των βαλαντιων. ὡϛε ειποτε και εμβαλλει τις ες αυτυς η σοφιαν, η παρρησιαν, η αληθειαν, εξεπιπτεν ευθυς, (15) και διερρει, τυ πυθμενος ϛεγειν υ δυναμενυ, οἱον τι πασχυσιν αἱ τυ Δαναυ ἁυται παρθενοι, ες τον τετρυπημενον πιθον επαντλυσαι· το δε χρυσιον οδυσι και ονυξι και παση μηχανη εφυλαττον. (16)

ΚΡΑΤ. Ουκυν ὑμεις μεν ἑξομεν κἀνταυθα τον πλυτον. οι δε οβολον ἡξυσι κομιζοντες, και τυτον αχρι τυ πορθμεως.

ΔΙΑΛ. Ε. (Μ)

ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΝΙΒΟΥ ΜΙΝΩΟΣ ΚΑΙ ΣΚΙΠΙΩΝΟΣ. (1)

ΑΛ. Εμε δει προκεκρισθαι συ, ω Λιβυ· αμεινων (2) γαρ ειμι.

ΑΝ.

(15) ει ποτε τις εμβ. - εξεπ. ευθυς) quam hoc triste est!

(16) οδ. κ. ονυξι κ. π. μ. εφ.) ως φασι. prouerbium h. Graecum expressit Cicero, Tusc. Q. II. 23. toto corpore atque omnibus angulis, vt dicitur. — —

(1) Et caput attollit Satyrus *Luciani*, principesque tangit Achiuos. quaerit heic, vter maior sit belli Dux, *Alexander*, an vero *Hannibal?* Vicisset forte *hic*, nisi inauspicato interuenisset *Scipio*. Ceterum heic legere, quae Liuius quaesiuit: an probabile sit, vt Romanos vicerit Alexander? (Lib. IX, 17.) non poenitebit.

(2) αμεινων) melior HEMST. mallem, fortior, nisi

 H. et

ΑΝ. Ου μενουν, αλλ' εμε.

ΑΛ. Ουκουν ὁ Μινως δικαζατω!

ΜΙΝ. Τινες δ' εςε;

ΑΛ. Ουτος μεν Αννιβας ὁ Καρχηδονιος· εγω δε Αλεξανδρος ὁ Φιλιππου.

ΜΙΝ. Νη Δια ευδοξοι γε αμφοτεροι. αλλα περι τινος ὑμιν ἡ ερις;

ΑΛ. Περι προεδριας· φησι γαρ ουτος αμεινων γεγενησθαι ςρατηγος εμου. εγω δε, ὡσπερ ἁπαντες ισασιν, ουχι τουτου μονον, αλλα παντων σχεδον των προ εμου φημι διενεγκειν τα πολεμια. (3)

ΜΙΝ. Ουκουν εν μερει ἑκατερος ειπατω. συ δε πρωτος ὁ Λιβυς λεγε.

ΑΝ. Ἑν μεν τουτο, ω Μινως, ωναμην, ὁτι ενταυθα και την Ἑλλαδα φωνην εξεμαθον· (4) ὡςε ουδε ταυτῃ πλεον οὑτος ενεγκαιτο μου. Φημι (5) δε τουτους μαλιςα επαινου αξιους ειναι, ὁσοι το μηδεν εξ αρχης οντες ὁμως επι μεγα προεχωρησαν, δι' αυτων δυναμιν τε περιβαλλομενοι, και αξιοι δοξαντες αρχης· εγω γουν μετ' ολιγων εξορμησας ες την Ιβηριαν, τα πρωτον ὑπαρχος ων τῳ αδελφῳ, μεγιςων ηξιω-

H. forte το melior eo ſenſu poſuit, quo καλος Graecorum et bonus ap. Lat. occurrit.

(3) πολεμια) ſub πραγματα vel εργα.

(4) ενταυθα τ. Ελλ. Φ. εξεμ.) atqui iam viuus illam didicerat, teſte Nepote, in Annib. qui illi Soſilum quendam litterarum Graecarum dat doctorem.

(5) Φημι) Φ. heic vim habet του pono.

ηξιωθην, αριϛος κριθεις· (6) και τους γε Κελτιβηρας ἑιλον, και Γαλατων εκρατησα τῶν Ἑσπεριων, και τα μεγαλα ορη (7) ὑπερβας, τα περι τον Ηριδανον ἁπαντα κατεδραμον, και αναϛατους εποιησα τοσαυτας πολεις, και την πεδινην Ιταλιαν εχειρωσαμην, και μεχρι των προαστειων της προυχουσης πολεως ηλθον· και τοσουτους απεκτεινα μιας ἡμερας, (8) ὡϛε τους δακτυλιους αυτων μεδιμνοις απομετρησαι, (9) και τους ποταμους γεφυρωσαι νεκροις. Και ταυτα παντα επραξα, ουτε Αμμωνος ὑιος ονομαζομενος, ουτε θεος ειναι προσποιουμενος, η ενυπνια της μητρος διεξιων, (10) αλλ᾽ ανθρωπος ειναι ὁμολογων, ϛρατηγοις τε τοις συνετωτατοις αντεξεταζομενος, και στρατιωταις τοις μαχιμωτατοις συμπλεκομενος, ου Μηδους και Αρμενιους καταγωνιζομενος ὑποφευγοντας, πριν διωκειν τινα, και τω τολμησαντι παραδιδοντας ευθυ την νικην. Αλεξανδρος δε πατρωαν αρχην παραλαβων ηυξησε, και παραπολυ εξετεινε

(6) *αριϛος κριθεις*) post mortem scilicet Hamilcaris, vnanimi suffragio exercitus dux electus.

(7) *τα μεγ. ορη*) Pyrenaeos.

(8) *τοσ. απ. μιας ημ.*) in clade nempe Cannensi.

(9) *μεδιμνοις απομετρ.*) Sil. It. XI. v. 535.
„ Testes hi stragis, quos signum illustre superbis
Mos laeua gestare viris. „ Tum funditur ante
Ora admirantum praefulgens annulus auro,
Datque fidem verbis *haud paruo* insignis *aceruo*.

(10) *ουτε Αμμ. υιος - διεξιων*) pungit Alexandrum, qui haec talia venditabat.

τεινε, χρησαμενος τη της τυχης ὁρμη. επειδ' ουν ενικησε τε, και τον ολεθρον εκεινον Δαρειον εν Ισσῳ τε και Αρβηλοις εκρατησεν, αποστας των πατρῳων προσκυνεισθαι ηξιου, και ες διαιταν την Μηδικην μετεδιῃτησεν ἑαυτον, και εμιαιφονει εν τοις συμποσιοις τους φιλους, (11) και συνελαμβανεν επι θανατῳ. (12) εγω δε ηρξα επισης της πατριδος, και επειδη μετεπεμπετο, των πολεμιων μεγαλῳ στολῳ επιπλευσαντων της Λιβυης, ταχεως ὑπηκουσα, και ιδιωτην ἐμαυτον παρεσχον, και καταδικασθεις ηνεγκα ευγνωμονως το πραγμα. (13) και ταυτ' επραξα βαρβαρος ων, και απαιδευτος παιδειας της Ἑλληνικης. και ουτε Ὁμηρον, ὡσπερ ουτος, ῥαψῳδων, ουτε ὑπ' Αριστοτελει τῳ σοφιστῃ παιδευθεις, (14) μονῃ δε φυσει

(11) τους φιλους) Clitum.

(12). συνελαμβ. επι θαν.) ad mortem duci iuſſit. eadem fere, quae Noſter, LIVIVS p. 271. (ed. Frcfr. 1560.) Referre in tanto rege piget ſuperbam mutationem veſtis, et deſideratas humi iacentium adulationes — — et foeda ſupplicia, et inter vinum et epulas caedem amicorum et vanitatem ementiendae ſtirpis.

(13) quid? quod, *addere poterat*, ſic ingrata licet Carthago fuerit, tantum tamen abfuit, vt vlciſcerer iniuriam, vt potius excitandis Romae hoſtibus hanc deprimere, vrbem patriam quaererem extollere.

(14) απαιδευτος - παιδ.) videtur ſupra doctrinam litterarum Graecarum diſſimulaſſe *Hannibal Luciani*, vt heic pungere poſſit Alexandrum, qui omnibus, quas Graecia fouebat, diſciplinis imbutus non ad tantum virtutis gradum eſcenderit, quem ipſe, ſolius naturae ductu, attigerit.

φυσει αγαθη χρησαμενος. Ταυτα εϛιν, ἁ εγω Αλεξανδρου αμεινων φημι ειναι· ει δ᾽ εϛι καλλιων ούτοσι, διοτι διαδηματι την κεφαλην διεδεδετο, Μακεδοσι μεν ισως και ταυτα σεμνα· ου μην δια τουτ᾽ αμεινων δοξειεν αν γενναιου και ϛρατηγικου ανδρος, τῃ γνωμῃ πλεον, ηπερ τῃ τυχῃ κεχρημενου.

ΜΙΝ. Ὁ μεν ειρηκεν ουκ αγεννη τον λογον, ουδ᾽ ὡς Λιβυν εικος ην, ὑπερ ἀυτου. συ δε, ω Αλεξανδρε, τι προς ταυτα φῃς;

ΑΛ. Εχρην μεν, ω Μινως, μηδεν προς ανδρα ούτω θρασυν· ἱκανη γαρ ἡ φημη διδαξαι σε, οἱος μεν εγω βασιλευς, ὁιος δε ούτος ληϛης (15) εγενετο· ὁμως δε ὁρα, ει κατ᾽ ολιγον αυτου διηνεγκα, ὁς νεος ων ετι παρελθων επι τα πραγματα, και την αρχην τεταραγμενην κατεσχον, και τους φονεας του πατρος μετηλθον, καταφοβησας την Ἑλλαδα τῃ Θηβαιων απωλειᾳ, ϛρατηγος ὑπ᾽ αυτων χειροτονηθεις, ουκ ηξιωσα την Μακεδονων αρχην περιεπων αγαπαν αρχειν ὁποσων ὁ πατηρ κατελιπεν, αλλα πασαν επινοησας την γην, και δεινον ἡγησαμενος, ει μη ἁπαντων κρατησαιμι, ολιγους αγων εσεβαλον ες την Ασιαν· και επι τε Γρανικῳ εκρατησα μεγαλῃ μαχῃ· και την Λυδιαν λαβων, και Ιωνιαν και Φρυγιαν, και ὁλως

(15) ἐτος ληϛης) nonne tu ipſe ſic audis, et audis forte iure maiori, cum gentes, quae nunquam te laeſerant, immo ne audiuerant quidem vnquam nomen tuum, inuaſeris.

ἑλως τα εν ποσιν αει χειρουμενος ηλθον επι Ισσον, ενθα Δαρειος ὑπεμεινε μυριαδας πολλας ϛρατου αγων. Και το απο τουτου, ω Μινως, ὑμεις ιϛε ὁσους ὑμιν νεκρους επι μιας ἡμερας κατεπεμψα. Φησι γουν ὁ πορθμευς, μη διαρκεσαι αυτοις τοτε το σκαφος, αλλα σχεδιας διαπηξαμενους τους πολλους αυτων διαπλευσαι· και ταυτα δε επραττον αυτος προκινδυνευων, και τιτρωσκεσθαι αξιων· και ἱνα σοι μη τα εν Τυρῳ, μηδε τα εν Αρβηλοις διηγησωμαι, αλλα και μεχρις Ινδων ηλθον, και τον Ωκεανον ὁρον εποιησαμην της αρχης, και τους ελεφαντας αυτων ἑιλον, και Πωρον εχειρωσαμην· και Σκυθας δε, ουκ ευκαταφρονητους ανδρας, ὑπερβας τον Ταναϊν, ενικησα μεγαλῃ ἱππομαχιᾳ· και τους φιλους ευ εποιησα, και τους εχθρους ημυναμην. ει δε και θεος εδοκουν τοις ανθρωποις, συγγνωϛοι εκεινοι, παρα το μεγεθος των πραγματων και τοιουτον τι πιϛευσαντες περι εμου. Το δ' ουν τελευταιον, εγω μεν βασιλευων απεθανον, οὑτος δε εν φυγῃ ων παρα Παρουσιᾳ τῳ Βιθυνῳ, καθαπερ αξιον ην πανουργοτατον, και ωμοτατον οντα. ὡς γαρ δη εκρατησε των Ιταλων, εω λεγειν, ὁτι ουκ ισχυϊ, αλλα πονηριᾳ, και απιϛιᾳ και δολοις, νομιμον δε, η προφανες ουδεν. επει δε μοι ωνειδισε την τρυφην, εκλελησθαι μοι δοκει, οἱα εποιει εν Καπυῃ, ἑταιραις συνων και τους του πολεμου καιρους ὁ θαυμασιος κα-

(16) εγω μ. βασ. - εν φυγῃ) quasi vero haec lis, vter melior sit? a fortuna sit dirimenda!

καθηδυπαθων· (17) εγω δε ει μη, μικρα τα ἑσπερια δοξας, επι την ἑω μαλλον ὡρμησα, τι αν μεγα επραξα, Ιταλιαν αναιμωτι λαβων, και Λιβυην και τα μεχρι Γαδειρων ὑπαγομενος; (18) αλλ' ουκ αξιομαχα εδοξε μοι εκεινα, ὑποπτησσοντα ηδη, και δεσποτην ὁμολογουντα. ειρηκα· συ δε, ω Μινως, δικαζε· ἱκανα γαρ απο πολλων και ταυτα.

ΣΚΗ. Μη προτερον, ην μη και εμου ακουσῃς.

ΜΙΝ. Τις γαρ ει, ω βελτιστε; η ποθεν ων ερεις;

ΣΚΗ. Ιταλιωτης Σκιπιων, στρατηγος ὁ καθελων Καρχηδονα, και κρατησας Λιβυων μεγαλαις μαχαις.

ΜΙΝ. Τι ουν και συ ερεις;

ΣΚΗ. Αλεξανδρου μεν ἡττων ειναι, του δ' Αννιβου αμεινων, ὁς εδιωξα νικησας αυτον, και φυγειν καταναγκασας ατιμως· πως ουν ουκ αναισχυντος ὁυτος, ὁς προς Αλεξανδρον ἁμιλλαται, ᾡ ουδε Σκηπιων εγω, ὁ νενικηκως αυτον, παραβαλλεσθαι αξιω;

ΜΙΝ. Νη Δι', ευγνωμονα φῃς, ω Σκηπιων· ὡστε πρωτος μεν κεκρισθω Αλεξανδρος, μετ' αυτον δε, συ· ειτα, ει δοκει, τριτος Αννιβας, ουδε ουτος ευκαταφρονητος ων.

ΔΙΑΛ.

(17) τας τ. πολ. καιρ. - καθυπ.) h. loquendi formulam egregie illuſtrat. HEMST. et παραφραζει: luxu et voluptatibus auocatus belli opportunitates perdidit, atque e manibus! amiſit. nos: *er. verſchmauſte die günſtigſte Zeit u. ſ. w.*

(18) Ιταλιαν αναιμωτι λαβων - ὑπαγ.) experiri prius debebas!

ΔΙΑΛ. Ζ. (Ν)
ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ. (1)

ΔΙΟΓ. Τι τȣτο, ω Αλεξανδρε; και συ τεθνηκας, ὥσπερ και ἡμεις ἁπαντες;

ΑΛΕΞ. Ὁρας, ω Διογενες. ȣ παραδοξον δε, ει ανθρωπος ων απεθανεν.

ΔΙΟΓ. Ουκȣν ὁ Αμμων εψευδετο, (2) λεγων ἑαυτȣ σε ειναι ὑιον· συ δε Φιλιππȣ αρα ησθα;

ΑΛ. Φιλιππȣ δηλαδη. ȣ γαρ αν ετεθνηκειν Αμμωνος ων.

ΔΙΟΓ. Και μην και περι της Ολυμπιαδος ὁμοια (3) ελεγοντο, δρακοντα ὁμιλειν αυτη, (4) και βλεπεσθαι εν τη ευνη, ειτα ȣτω σε τεχθηναι, τον δε Φιλιππον εξηπατησθαι, οιομενον πατερα σȣ ειναι.

ΑΛ. Κἀγω ταυτα ηκȣον, ὥσπερ συ· νυν δε ὁρω, ὁτι ȣδεν ὑγιες ȣτε ἡ μητηρ, ȣτε οἱ των Αμμωνιων (5) προφηται ελεγον.

ΔΙΟΓ.

(1) Inuehitur in Alexandri, quem Magnum vocant, ſuperbiam, crudelitatem, vanitatem, aliaque vitia, paucis in eum Alexandrum, qui poſt internecionem Darii fuit. Facit id conuenientiſſime ſub perſona Diogenis, qui, vt conſtat, iam olim Macedonem depreſſit.

(2) Ουκȣν ο Αμμ. εψ.) quam falſe.

(3) ομοια) non diſplicet coniectura HEMSTERHVSII, ὁποια. quae quantaque narrauerint etc.

(4) δραμ. ομ. αυτ.) mentitae ſunt plures feminae commercium cum anguibus, ſub quorum forma Dii lubentiſſime latere credebantur.

(5) Αμμωνιων) Αμμ. ſunt, qui circa Hammonis templum in ipſaque arce habitabant.

ΔΙΟΓ. Αλλα το ψευδος αυτων ουκ αχρηστον σοι, ω Αλεξανδρε, προς τα πραγματα εγενετο· πολλοι γαρ ὑπεπτησσον Θεον ειναι σε νομιζοντες (6) — Αταρ ειπε, τινι την τοσαυτην αρχην καταλελοιπας; (7)

ΑΛ. Ουκ οιδα, ω Διογενες. ου γαρ εφθασα επισκηψαι τι περι αυτης, η τουτο μονον, ὁτι αποθνησκων Περδικκᾳ το δακτυλιον επεδωκα. πλην αλλα τι γελας, ω Διογενες;

ΔΙΟΓ. Τι γαρ αλλο. η ανεμνησθην, οια εποιει ἡ Ἑλλας, αρτι σε παρειληφοτα την αρχην κολακευοντες, και προστατην αἱρουμενοι, και στρατηγον επι τους βαρβαρους· ενιοι δε και τοις δωδεκα Θεοις προστιθεντες, και νεως οικοδομουμενοι, και θυοντες, ὡς δρακοντος ὑιῳ. (8) — Αλλ' ειπε μοι, που σε οἱ Μακεδονες εθαψαν;

ΑΛ. Ετι εν Βαβυλωνι κειμαι τριτην ταυτην ἡμεραν· ὑπισχνειται δε ὁ Πτολεμαιος ὁ ὑπασπιστης, ην ποτε αγαγῃ σχολην απο των θορυβων των εν ποσιν, ες Αιγυπτον απαγαγων με θαψειν εκει, ὡς γενοιμην εἱς των Αιγυπτιων Θεων.

ΔΙΟΓ.

(6) ουκ αχρ. - νομιζ.) quid enim fortius valet ad mouendos hominum animos, quam ſuperſtitio?

(7) τινι τ. τ. αρχ. καταλ.) ridet breuem admodum regni Macedonici ſic dilapſi ſplendorem, dum ignarus quaſi rerum geſtarum de ſucceſſore quaerit.

(8) την αρχην κολ. - ὑιῳ) quippe neque in odio neque in admiratione medium tenebant Graeci.

ΔΙΟΓ. Μη γελασω, ω Αλεξανδρε, ὁρων και εν ᾁδου ετι σε μωραινοντα και ελπιζοντα, Ανουβιν η Οσιριν γεγενεσθαι; πλην αλλα ταυτα μεν, ω θειοτατε, μη ελπισῃς· ου γαρ θεμις, ανελθειν τινα των ἁπαξ διαπλευσαντων την λιμνην, και ες το εισω του στομιου παρελθοντων· ου γαρ αμελης ὁ Αιακος, ουδ᾽ ὁ Κερβερος ευκαταφρονητος. Εκεινα δε ἡδεως αν μαθοιμι ὑπο σου, πως φερεις, ὁποτ᾽ αν εννοησῃς, ὁσην ευδαιμονιαν ὑπερ γης απολιπων αφιξαι, σωματοφυλακας, και ὑπασπιστας, και σατραπας, και χρυσον τοσουτον, και εθνη προσκυνουντα· (9) και Βαβυλωνα, και Βακτρα, και τα μεγαλα θηρια, και τιμην και δοξαν· και το επισημον ειναι ελαυνοντα, διαδεδεμενον ταινιᾳ λευκῃ την κεφαλην, πορφυριδα εμπεπορπημενον· ου λυπει ταυτα σε ὑπο την μνημην οντα; τι δακρυεις, ω ματαιε; ουδε ταυτα σε ὁ σοφος Αριστοτελης επαιδευσε, μη οιεσθαι βεβαια ειναι τα παρα της τυχης; (10)

ΑΛ. Σοφος ἁπαντων εκεινος κολακων επιτριπτοτατος ων; εμε μονον εασον τα Αριστοτελους ειδεναι, ὁσα μεν ητησε παρ᾽ εμου, ὁια δε επεστελλεν, ὡς δε κατεχρητο μου τῃ περι παιδειαν φιλοτιμιᾳ θωπευων, και επαι-

(9) προσκυνουντα) more Perſarum.

(10) ου ταυτα σ. ὁ σοφ. Αριστ. - τυχης) caedit Ariſtotelem, qui magis quaeſiuit περι της των παντων φυσεως (vt Xenophontis verbis vtar) σκοπων, οπως ο καλουμενος κοσμος εφυ, και τισιν αναγκαις εκαστα γιγνεται των ουρανιων, quam quae ad vitam communem moresque hominum pertinerent.

επαινων αρτι μεν (ες) το καλλος, (11) ὡς και τουτο μερος ον τἀγαθου, αρτι δ' (ες) τας πραξεις και τον πλουτον. και γαρ αν και τουτ' αγαθον ἡγειτ' ειναι, ὁς μη αισχυνοιτο και αυτος λαμβανων γοης, ω Διογενες, ανθρωπος, και τεχνιτης. πλην αλλα τουτους απολελαυκα (12) αυτου της σοφιας, το λυπεισθαι ὡς επι μεγιστοις αγαθοις εκεινοις, ἁ κατηριθμησα μικρῳ γε εμπροσθεν.

ΔΙΟΓ. Αλλ' οισθα, ὁ δρασεις; ακος γαρ σοι της λυπης ὑποθησομαι· επει ενταυθα γε ἑλλεβορος ου φυεται, (13) συ δε κἀν το Ληθης ὑδωρ χανδον επισπασαμενος πιε· και αυθις πιε, και πολλακις. οὑτω γαρ αν παυσῃ επι τοις Αριστοτελους αγαθοις ανιωμενος. και γαρ και Κλειτον εκεινον ὁρω, και Καλλισθενη και αλλους πολλους επι σε ὁρμωντας, ὡς διασπασαιντο, και αμυναιντο σε, ὡν εδρασας αυτους· ὡστε την ἑτεραν συ ταυτην (14) βαδιζε, και πινε πολλακις, ὡς εφην.

ΔΙΑΛ.

(11) ες το καλλος) alii legunt προς, et mox επι τας πραξεις.„ vtrumque male, inquit HEMSTERH. et contra Graeci fermonis fcriptorisque noftri vfum. „ Quare το ες vncis inclufi.

(12) απολελαυκα) vid. fupr. not. 7. ad Dial. Mercur. et Solis.

(13) επει εντ. ελλεβ. ου φυεται) nae! natus homo videtur ad deprimendum Regum faftum!

(14) την ετερ. σ. ταυτην) fub. ὁδον.

ΔΙΑΛ. Η. (Σ)
ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΕΡΜΟΥ. (1)

ΜΕΝ. Πȣ δε οἱ καλοι εισιν, η αἱ καλαι, ὠ Ερμη; ξεναγησον με νεηλυν οντα.

ΕΡΜ. Οὐ σχολη μοι, ω Μενιππε· πλην κατ᾽ εκεινο αυτο αποβλεψον, ὡς επι τα δεξια, ενθα Ὑακινθος τε εςι, και ὁ Ναρκισσος, και Νιρευς, και Αχιλλευς, και Τυρω, και Ἑλενη και ὁλως τα αρχαια καλλη παντα.

ΜΕΝ. Οςα μονον ὁρω, και κρανια, των σαρκων γυμνα, ὁμοια τα πολλα.

ΕΡΜ.

(1) Commentarii inftar eft locus ille, quo Gymnofophifta Menippum agit: (Amadis II. B. S. 9.)

Was wurd' aus allen den Schoenen, woran die dichtrifche Schaar
Sich heifcher fingt, der fchönen Magellone,
Der Königin Genievre, und Leda, und Hefione,
Der Schönen mit dem goldnen Haar,
Und Penthefileen, der fchönen Amazone?
Sieh' diefen kahlen Schaedel hier,
Statt zierlicher Locken, von Maden umkrochen!
Wollüftling, fieh'! wie reizend grinft er dir!
An diefem Schaedel hing voll glühender Begier
Der Griechen fchmachtender Blick! in diefen faulen Knochen
Zu liegen, war der Wunfch, der Stolz der halben Welt. — —
Wie eckler Sybarit, du fchauderft mit Grauen zurücke?
Du würdigft Phrynen izt nicht Einen deiner Blicke? —

ΕΡΜ. Και μην εκεινα εϛιν, ἁ παντες ὁι ποιηται θαυμαζȣσι, τα οϛα, ὧν συ εοικας καταφρονειν.

ΜΕΝ. Ὁμως την Ἑλενην μοι δειξον· ȣ γαρ αν διαγνοιην εγωγε.

ΕΡΜ. Τȣτι το κρανιον Ἑλενη εϛιν.

ΜΕΝ. Ειτα αἱ χιλιαι νηες δια τȣτο επληρωθησαν εξ ἁπασης της Ἑλλαδος, και τοσουτοι επεσον Ἑλληνες τε και βαρβαροι, και τοσαυται πολεις ανασατοι γεγονασιν;

ΕΡΜ. Αλλ' ȣκ ειδες, ω Μενιππε, ζωσαν την γυναικα· εφης γαρ αν και συ ανεμεσητον ειναι (2) Τοιηδ' αμφι γυναικι πολυν χρονον αλγεα πασχειν. επει και τα ανθη ξηρα οντα ει τις βλεποι αποβεβληκοτα την βαφην, αμορφα δηλονοτι αυτῳ δοξει· ὁτε μεντοι ανθει και εχει την χροιαν, καλλιϛα εϛιν.

ΜΕΝ. Ουκȣν τȣτο, ω Ἑρμη, θαυμαζω, ει μη συνιεσαν οἱ Αχαιοι περι πραγματος ȣτως ολιγοχρονιȣ, και ῥαδιως απαυθȣντος πονȣντες.

ΕΡΜ. Ου σχολη μοι, ω Μενιππε, συμφιλοσοφειν σοι· ὡϛε επιλεξαμενος τοπον, ενθα αν εθελης, κεισο καταβαλων (3) σεαυτον· εγω δε τȣς αλλȣς νεκρȣς ηδη μετελευσομαι.

ΛΟΥ-

(2) ανεμεσητον ειναι -) alludit ad locum Hom. Ιλ. γ. 156. vbi vel Senes Troiani vim pulchritudinis fatentur.
Ου νεμεσις Τρωας και εϋκνημιδας Αχαιȣς
Τοιηδ' — —

(3) καταβαλων σεαυτον) ſic et Lat. τῳ proiicere vtuntur. Virg. Ecl. I. 76. viridi *proiectus* in antro.

ΛΟΥΚΙΑΝΟΥ
ΧΑΡΩΝ Η ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ.

ΕΡΜΗΣ ΚΑΙ ΧΑΡΩΝ.

ΕΡΜ. Τι γελας, ω Χαρων, η τι το πορθμειον απολιπων δευρο ανεληλυθας, ες την παρουσαν ἡμεραν (1) ου πανυ ειωθως επιχωριαζειν τοις ανω πραγμασιν;

ΧΑΡ.

In omnes se formas vertit Satyrus Luciani, prout conuenire videtur ipsi, quam ridet, rei. *Heic*, cum *vanitatem rerum humanarum* docere voluit suo more, i. e. ita, vt stultitiam simul eorum, qui rebus humanis confidunt, multo sale fricet, quid aptius erat, quam educere in terram Charontem? quis enim, quam vana fluxaque sint omnia, fortius potest concionari, quam is, qui quotidie in cymba sua videt tot deiectorum e celsissimis fastigiis hominum exempla? Solus autem Charon cum caecutiisset in terra hac nostra, quidque hoc, quid illud sibi velit, ignorasset, prudenter iungitur ipsi Mercurius dux.

(1) *αν. ε. τ. παρ. ἡμ.*) integritas h. l. debetur acumini HEMSTERHVSII, qui recte distinguere docuit illum. antea enim sic distinguebatur, *ανεληλυθας ες τ. π. ἡμεραν, ου π.* — —

ΧΑΡ. Επεθυμησα, ω Ἑρμη, ιδειν ὁποια εϛι τα εν τῳ βιῳ, και ἁ πραττουσιν οἱ ανθρωποι εν αυτῳ, η τινων ϛερουμενοι παντες οιμωζουσι κατιοντες παρ' ἡμας. ουδεις γαρ αυτων αδακρυτι διεπλευσεν. αιτησαμενος ουν παρα του Ἀδου και αυτος, ὡσπερ ὁ Θετταλος εκεινος νεανισκος, (2) μιαν ἡμεραν λειπονεως γενεσθαι, ανεληλυθα ες το φως· και μοι δοκω ἐς δεον εντετυχηκεναι σοι. ξεναγησεις γαρ ευ οιδ' ὁτι με ξυμπερινοϛων, και δειξεις ἑκαϛα, ὡς αν ειδως ἁπαντα.

ΕΡΜ. Ου σχολη μοι, ω Πορθμευ· απερχομαι γαρ τι διακονησομενος τῳ ανω Δɩι (3) των ανθρωπικων. ὁ δε οξυθυμος τε εϛι, και δεδια, μη βραδυναντα με ὁλον ὑμετερον εασῃ ειναι, παραδους τῳ ζοφῳ· η ὁπερ τον Ἡφαιϛον πρωην εποιησε, ῥιψῃ κάμε τεταγως του ποδος (4) απο του θεσπεσιου βηλου, ὡς ὑποσκαζων (5) γελωτα παρεχοιμι και αυτος οινοχοων.

ΧΑΡ.

(2) ωσ. ο Θ. εκ. νεαν.) Protefilaus.

(3) τῳ ανω Δɩι) parebat quippe Mercurius et τῳ κατω Δɩι.

(4) τετ. τ. ποδος) allufit ad Ιλ. α. v. 590. falfo librum β. laudat I. Brodaeus.

(5) ὑποσκαζων) Claudus fit alibi, per me licet, Vulcanus! at ex h. l. Hom. non euincitur, vbi de verbo Homerico (ποιπνυοντα) nefcio vnde fuam fapientiam haufierit CLARKIVS, qui ita: pincernam agentem, *fed claude*. an et claudus eft Neptunus ανα μαχην ποιπνυων? (Ιλ. ξ. 155) claudae Medeae ancillae? (Apoll. Arg. 4. 1113.) claudae

 Hefpe-

ΧΑΡ. Περιοψει ουν με αλλως πλανωμενον ὑπερ γης, και ταυτα ἑταιρος και ξυμπλους και συνδιακτορος (6) ων. και μην καλως ειχεν, ω Παι Μαιας, εκεινων γουν σε μεμνησθαι, ὁτι μηδεπωποτε σε η αντλειν εκελευσα, η προσκωπον ειναι· αλλα συ μεν ῥεγκεις επι του καταστρωματος εκταθεις, ωμους ὑτω καρτερους εχων (7) η ει τινα λαλον νεκρον ἑυροις, εκεινῳ παρ' ὁλον τον πλουν διαλεγῃ· εγω δε πρεσβυτης ων, την δικωπιαν ἑλκων, ερεττω μονος. αλλα προς του πατρος, ω Φιλτατον Ἑρμιδιον, (8) μη καταλιπῃς με, περιηγησαι (9) δε τα εν τῳ βιῳ ἁπαντα, ὡς τι και ιδων επανελθοιμι, ὡς ην με συ αφῃς, ουδεν των τυφλων διοισω. καθαπερ γαρ εκεινοι σφαλλονται διολισθαινοντες εν τῳ σκοτῳ, ὑτω δη κἀγω σοι παλιν αμβλυωττω προς το φως. αλλα δος, ω Κυλληνιε, μοι ες αει μεμνησομενῳ την χαριν.

ΕΡΜ. Τουτι το πραγμα πληγων αιτιον καταστησεται μοι. ὁρω γουν ηδη τον μισθον της περιηγησεως ουκ ακονδυλον παντάπασιν ἡμιν εσομενον· ὑπουργητεον

δε

Hesperides? (ib. v. 1398.) quod si perpendisset olim KLOTZIVS, forte bono Vulcano dicam non scripsisset. Epist. Hom. p. 25.

(6) συνδιακτ.) qui transfers mecum mortuorum vmbras.

(7) μηδεπ. - ω. ου καρτ. εχων) *vrbanitati Charontis* bene haec conueniunt.

(8) Φιλτ. Ερμ.) iam vero fit blandior.

(9) περιηγησαι) verbum rei huic exprimendae aptissimum. est enim proprie, vbique circumducere, memoratu digna monstrare atque enarrare. hinc περιηγηται (conduttori) velut *Dɩlphici*. miror hinc περιηγησιν, quae mox sequitur, per *praestirutum offiuium* versam.

δε ὁμως· τι γαρ αν και παθη τις, ὁποτε φιλος τις ων βιαζοιτο; παντα μεν ουν σε ιδειν καθ' ἑκαστον ακριβως αμηχανον εστιν, ω Πορθμευ· πολλων γαρ ετων ἡ διατριβη γενοιτο. ειτα εμε μεν κηρυττεσθαι δεησει, καθαπερ αποδραντα ὑπο του Διος· (10) σε δε και αυτον κωλυσει ενεργειν τα του θανατου εργα, και την Πλουτωνος αρχην ζημιουν, (11) μη νεκραγωγουντα πολλου του χρονου, και ὁ τελωνης Αιακος αγανακτησει, μηδ' οβολον εμπολων. (12) ὡς δε τα κεφαλαια των γιγνομενων ιδῃς, τουτ' ηδη σκεπτεον.

ΧΑΡ. Αυτος, ω Ἑρμη, επινοει το βελτιστον. εγω δε ουδεν οιδα των ὑπερ γης, ξενος ὠν.

ΕΡΜ. Το μεν ὁλον, ω Χαρων, ὑψηλου τινος ἡμιν εδει χωριου, ὡς απ' εκεινου παντ' ιδοις. συ δε, ει μεν ες τον ουρανον ανελθειν δυνατον ην, (13) ουκ αν

εκαμ-

(10) κηρ. καθ. απ. υ. τ. Δ.) veluti feruus fugitiuus, qui praeconis voci fubiici folebat.

(11) κωλ. ενεργειν - και ζημιουν) negligentia orationis, faepius obuia. inferendum eft alteri membro το ποιησει vel αναγκασει vel tale quid. ex pluribus, quae HEMST. ad h. l. dat, exemplis adfcribam illud vnum, PHAEDRI, Fab. IV, 17. nec veto dimitti, verum (iubeo) cruciari fame.

(12) ὁ τελ.) tunc fiet, vt, ficut fuauiffimus poetarum canit,

— im Reiche blaffer Schatten
Der Richter und der Syndicus
Kein Protocoll und keine Sporteln (haben.)

(13) συ δε, ει δυν. ην) oratio ανακολουθος, explicanda, quod ad te attinet, et hinc defendenda quidem. fed tamen arridere fibi σοι δε, fatetur HEMST.

εκαμνον. εκ περιωπης γαρ αν ακριβως ἁπαντα καθεωρας· επει δε ου θεμις ειδωλοις (14) αει ξυνοντα επιβατευειν των βασιλειων του Διος, ὡρα ἡμιν ὑψηλον τι ορος περισκοπειν.

ΧΑΡ. Οισθα, ω Ἑρμη, ἁπερ ειωθα λεγειν εγω προς ὑμας, επειδαν πλεωμεν; Ὁποταν γαρ το πνευμα καταιγισαν πλαγια τη οθονη εμπεση, και το κυμα ὑψηλον αρθη, τοτε ὑμεις μεν ὑπ' αγνοιας κελευετε την οθονην στειλαι, η ενδουναι ολιγον του ποδος, (15) η συνεκδραμειν τω πνευματι· εγω δε ἡσυχιαν αγειν παρακελευομαι ὑμιν· αυτος γαρ ειδεναι τα βελτιω· κατα ταυτα δη και συ πραττε, ὁποσα καλως εχειν νομιζεις, κυβερνητης νυν γε ων. εγω δε, ὡσπερ επιβαταις νομος, σιωπη κατεδουμαι, παντα πειθομενος κελευοντι σοι.

ΕΡΜ. Ορθως λεγεις, αυτος γαρ εισομαι, τι ποιητεον, κἀξευρησω την ἱκανην σκοπην. αρ' ουν ὁ Καυκασος επιτηδειος, η ὁ Παρνασσος ὑψηλοτερος, η αμφοιν ὁ Ολυμπος εκεινοσι; Καιτοι ου φαυλον τι ανεμνησθην ες τον Ολυμπον απιδων· συγκαμειν δε τι και ὑπουργησαι σε δει.

ΧΑΡ. Προσαττε· ὑπουργησω γαρ, ὁσα δυνατα.

ΕΡΜ. Ὁμηρος ὁ ποιητης φησι τους Αλωεως ὑιεας, (16) δυο

(14) ειδωλοις) vmbris, imaginibus, vti Virg. 4. 654. et nunc magna mei fub terras ibit imago!

(15) ενδ. ολ. τ. ποδος) πους hic eft verbum nauticum, (et eft, *funes veli* paullum laxare) vt in illo Virgilii, vna omnes fecere *pedem*.

(16) τ. Αλ. π.) Otus atque Ephialtes.

δυο και αυτες οντας, ετι παιδας, εθελησαι ποτε την Οσσαν εκ βαθρων ανασπασαντας επιθειναι τῳ Ολυμπῳ, ειτα το Πηλιον επ' αυτῃ, ἱκανην ταυτην κλιμακα ἑξειν οιομενες και προσβασιν επι τον ερανον· εκεινω μεν εν τω μειρακιω, ατασθαλω γαρ ηστην, ετισατην. νω δε (ε γαρ επι κακῳ των Θεων ταυτα βελευομεν) τι εχι οικοδομεμεν και αυτοι κατα τα αυτα επικυλινδεντες επαλληλα τα ορη, ὡς εχοιμεν αφ' ὑψηλοτερε ακριβεστεραν την σκοπην;

ΧΑΡ. Και δυνησομεθα, ω Ἑρμη, δυ' οντες αναθεσθαι αραμενοι το Πηλιον, η την Οσσαν;

ΕΡΜ. Διατι δ' εκ αν, ω Χαρων; η αξιοις ἡμας αγεννεστερες ειναι τοιν βρεφυλλιοιν εκεινοιν, και ταυτα θεες ὑπαρχοντας;

ΧΑΡ. Ουκ· αλλα το πραγμα δοκει μοι απιθανον τινα την μεγαλεργιαν εχειν.

ΕΡΜ. Εικοτως· ιδιωτης γαρ ει, ω Χαρων, και ἡκιστα ποιητικος· ὁ δε γενναδας Ὁμηρος απο δυοιν στιχοιν (17) αυτικα ἡμιν αμβατον εποιησε τον ερανον, ἑτω ῥαδιως συντιθεις τα ορη. και θαυμαζω, ει σοι ταυτα τερατια ειναι δοκει, τον Ατλαντα δηλαδη ειδοτι, ὁς τον πολον αυτον, εἱς ων, φερει, ανεχων ἡμας ἁπαντας· ακεεις δε ισως και τε εμε αδελφε περι, τε Ἡρακλεος, ὡς διαδεξοιτο ποτε αυτον εκεινον (18) τον

(17) απο δυοιν στιχοιν) pro δυσι στιχοις, veluti faepius.

(18) διαδ. π. αυτον εκεινον) vitium fcholuit HEMST.

τον Ατλαντα, και αναπαυσειε προς ολιγον τȣ αχθȣς, ὑποθεις ἑαυτον τῳ φορτιῳ.

ΧΑΡ. Ακȣω και ταυτα. ει δε αληθη εςι, συ αν, ω Ἑρμη, και οἱ ποιηται ειδητε. (19)

ΕΡΜ. Αληθεςατα, ω Χαρων. η τινος γαρ ἑνεκα σοφοι ανδρες εψευδοντο αν; ὡςε αναμοχλευωμεν τον Οσσαν πρωτον, ὡσπερ ἡμιν ὑφηγειται το επος, και ὁ αρχιτεκτων Ὁμηρος, Αυταρ επ' Οσση Πηλιον ειγοσιφυλλον· ὁρᾳς ὁπως ῥᾳδιως ἁμα και ποιητικως εξειργασαμεθα; φερε ȣν αναβας ιδω, (20) ει και ταυτα ἱκανα, η εποικοδομειν ετι δεησει; — Παπαι, κατω ετι εσμεν εν τῃ ὑπωρειᾳ τȣ ȣρανȣ· απο μεν γαρ των Εῳων μογις Ιωνια και Λυδια φαινεται· απο δε της ἑσπερας ȣ πλεον Ιταλιας και Σικελιας. απο δε των Αρκτῳων τα επι ταδε τȣ Ιςρȣ μονα· κακειθεν, ἡ Κρητη ȣ πανυ σαφως· μετακινητεα ἡμιν, ω Πορθμευ, και ἡ Οιτη, ὡς εοικεν· ειτα ὁ Παρνασσος επι πασιν.

ΧΑΡ. Οὑτω ποιωμεν· ὁρα μονον, μη λεπτοτερον εξεργασωμεθα το εργον απομηκυνοντες περα τȣ πιθανȣ· ειτα συγκαταρρἱφθεντες αυτῳ πικρας τȣ Ὁμηρȣ οικο-

HEMST. et eſſe omnino vitioſus videtur hic locus, quid enim το αυτον iunctum τῳ εκεινον? corrigendum ille cenſuit διαδεξαιτο π. αυτος εκ. De διαδεξαιτο ſubſcribo, ſed το αυτον eiiciendum forte eſt.

(19) ει δ. αλ. ε. συ αν - ειδητε) decenter dictum, ψευδη ταυτα ειναι.

(20) Φερε ȣν αναβας -) ſpectatores quaſi facit lectores hoc narrationis artificio LVCIANVS.

οικοδομητικης (21) πειραθωμεν, ξυντριβεντες των κρανιων. (22)

ΕΡΜ. Θαῤῥει· ασφαλως γαρ ἑξει ἁπαντα· μετατιθει την Οιτην· επικυλινδεισθω και ὁ Παρνασσος. ιδου, επανειμι αυθις· ευ εχει· παντα ὁρω· αναβαινε ηδη και συ!

ΧΑΡ. Ορεξον, ω Ἑρμη, την χειρα· ου γαρ επι μικραν με ταυτην την μηχανην αναβιβαζεις.

ΕΡΜ. Ειγε και ιδειν εθελεις, ω Χαρων, ἁπαντα· (23) ουκ ενι δε αμφω, και ασφαλη και φιλοθεαμονα ειναι (24)· αλλ᾽ εχου μου της δεξιας, και φειδου μη κατα του ολισθηρου πατειν· ευγε, ανεληλυθας και συ· και επειπερ δικορυμβος ὁ Παρνασσος εστι, μιαν ἑκατερος ακραν επιλαβομενοι καθεζωμεθα· συ δε μοι ηδη εν κυκλῳ περιβλεπων επισκοπει ἁπαντα.

ΧΑΡ. Ὁρω γην πολλην και λιμνην τινα μεγαλην (25) περι-

(21) πικρ. του σ. οικοδ.) ſub audi τεχνης.

(22) πικρ. - των κρανιων) Iccoſe Charon! Ceterum hanc συνταξιν αττικην eſſe notandum eſt, de qua Schol. Voſſ. φιλουσιν Αθηναιοι το επι μερους. λεγεται ως το εφαγον του αρτου, επιον του οινου, ουτω κανταυθα, συντριβοντες των κρανιων. Abeat ergo GVIETVS cum correctione ſua το κρανιον!

(23) Ειγε κ. ιδ. εθ. απαντα) ſupple ex iis, quae praeceſſere: δει με επ᾽ ου μικραν σε μηχανην αναβιβαζειν, ειγε — —

(24) ουκ ενι - ειναι) ſententia ſuo loco poſita!

(25) λιμνην τ. μεγ.) omnia, ὡς εικος, ad ea refert, quae in Orco ſuo videt. quare cum maria ibi non habet, την θαλασσαν dicit λιμνην, aeque, vti huius terrae fluuios ad Cocytum et Pyriphlegetonta metitur.

περιρρεουσαν, και ορη και ποταμους του Κωκυτου και Πυριφλεγεθοντος μειζονας· και ανθρωπους πανυ σμικρους και τινας φωλεους αυτων. (26)

ΕΡΜ. Πολεις εκειναι εισιν, ὁυς φωλεους ειναι νομιζεις.

ΧΑΡ. Οισθα, ω Ἑρμη, ὡς ουδεν ἡμιν πεπρακται; αλλα ματην τον Παρνασσον αυτῃ Κασαλιᾳ και τον Οιτην και τα αλλα ορη μετεκινησαμεν.

ΕΡΜ. Ὁτι τι;

ΧΑΡ· Ουδεν ακριβες εγωγε απο του ὑψηλου ὁρω· εβουλομην δε ου πολεις και ορη αυτα μονον, ὡσπερ εν γραφαις, ὁραν, αλλα τους ανθρωπους αυτους, και ἁ πραττουσι, και (27) ὁια λεγουσιν, ὡσπερ ὁτε με το πρωτον εντυχων ειδες γελωντα, και ηρου με, ὁ, τι γελωην· ακουσας γαρ τινος ησθην ες ὑπερβολην.

ΕΡΜ.

(26) ανδρ. π. σμικρ - αυτων) canit ſic vatum noſtrorum neſcio iam quis — —

— *Dem, der vom Olympus ſieht,*

— — —

Sind ſtolze Schlöſſer kleine Hütten,
Die gröſten Heere ſcheinen ihm,
Wie wenn mit lächerlichem Grimm
Um einen Halm Ameiſen ſtritten.

(27) και) proprie heic interſeri debebat ακουειν, οια λεγ. ſed verba ſenſuum ſaepius inter ſe permutari, res nota eſt. Sic Ιλ. ε. 243. ουκ αἰεις pro ου βλεπεις. Aeſch. Prom. v. 21. 22. pariter Latini, vti ap. Sil. It. VI. 179. aſpicimus reſonare ſolum. vid. Drakenb. p. 300. Oudend. ad Lucan. p. 37. alios.

ΕΡΜ. Τι δε τȣτ' ην;

ΧΑΡ. Επι δειπνον, οιμαι, κληθεις ὑπο τινος των φιλων ες την ὑϛεραιαν, μαλιϛα ἡξω, εφη. και μεταξυ λεγοντος, απο τȣ τεγȣς κεραμις επιπεσȣσα, ȣκ οιδ' ὁτȣ κινησαντος, απεκτεινεν αυτον. εγελασα ȣν ȣκ επιτελεσαντος την ὑποσχεσιν. εοικα δε και νυν ὑποκαταβησεσθαι, ὡς μαλλον βλεποιμι και ακȣοιμι.

ΕΡΜ. Εχ' ατρεμας· και τȣτο γαρ εγω ιασομαι σοι, και οξυδερκεϛατον εν βραχει αποφανω, παρ' Ὁμηρȣ τινα και προς τȣτο εις επῳδην λαβων· κάπειδαν ειπω τα επη, μεμνησο μηκετι αμβλυωττειν, αλλα σαφως παντα ὁραν.

ΧΑΡ. Λεγε μονον.

ΕΡΜ. Αχλυν δ' αυ τοι (28) απ' οφθαλμων ἑλον, ἡ πριν επηεν,

Οφρ' ευ γινωσκεις ημεν θεον ηδε και ανδρα.

ΧΑΡ. Τι εϛιν;

ΕΡΜ. Ηδη ὁρας; (29)

ΧΑΡ.

(28) Αχλυν δ'αυ -) ex Iliad. ε. 127. vbi Minerua haec ad Diomedem.

(29) ΧΑΡ. Τι εϛιν; ΕΡΜ. Ηδη ὁρας;) Eiicit heic Charontem HEMSTERHVSIVS, tribuitque vtrumque Mercurio. *quid enim*, ait, *aptius*, *quam vt recitatis Homeri versiculis statim quaeras*, *τι εϛιν*, *ηδη ὁρας*; immo vero, quid aptius, quam mirabilem oculorum aciem repente nactum Charontem obstupefactum exclamare: quid hoc tandem rei est? tantumne valet versus Homeri? — Extrusit, quod miror, Charontem et versio.

ΧΑΡ. Ὑπερφυως γε· τυφλος ὁ Λυγκευς εκεινος ὡς προς εμε. ὡςε συ το επι τȣτῳ προδιδασκε με (30), καὶ αποκρινȣ ερωτωντι. αλλα βȣλει κατα τον Ὁμηρον κἀγω ερωμαι σε, ὡς μαθοις ȣδ' αυτον αμελετητον οντα με των Ὁμηρȣ;

ΕΡΜ. Και ποθεν συ εχεις τι των εκεινȣ ειδεναι, ναυτης αει και προσκωπος ων;

ΧΑΡ. Ὁρας, ονειδιςικον τȣτο ες την τεχνην· εγω δε, ὁποτε διεπορθμευον αυτον αποθανοντα, πολλα ῥαψῳδȣντος ακȣσας, ενιων ετι μεμνημαι, καιτοι χειμων ἡμας ȣ μικρος τοτε κατελαβεν. Επει γαρ ηρξατο ᾳδειν ȣ πανυ αισιον τινα ᾠδην τοις πλεȣσιν, ὡς ὁ Ποσειδων συνηγαγε τας νεφελας, (31) και εταραξε τον ποντον, ὡσπερ τορυνην (32) τινα εμβαλων την τριαιναν, και πασας τας θυελλας ωροθυνε, (33) και αλλα πολλα, κυκων την θαλασσαν ὑπο των επων, χειμων αφνω και γνοφος εμπεσων ολιγȣ δειν περιετρεψεν ἡμιν την ναυν· ὁτεπερ και ναυτιασας εκεινος απη-

(30) *επι τȣτω προδιδασκε με*) το προδιδ. non concoquit HEMST. quippe quaerit, quid Charontem *ante* doceat Mercurius? ſuſpicatus hinc vitium. Forte vnica *Poli collatio* ſeruauit veram lectionem, προσδιδ. „Varia iam edoctus ſum abs te. nunc cum acutiores ſunt oculi, pergere potes, iisque, quae iam docuiſti, alia *addere*. „

(31) ὡς ὁ Ποσ. - -) alludunt haec ad Odyſſ. E. 291. vbi in Vlyſſem tempeſtatem excitat Neptunus.

(32) τορυνην) ειδος ξυλȣ ϛρογγυλȣ· η το σκαμβον ξυλον και ȣδεποτε ορθον. Schol. Voſſ.

(33) ωροθυνε) Recte ſine dubio pr. ορoθ. poſuit ωροθ. Mos. Sol.

απημεσε των ῥαψωδιων τας πολλας αυτη (34) Σκυλλη και Χαρυβδει και Κυκλωπι.

ΕΡΜ. Ου χαλεπον εν ην εκ τοσετε εμετε ολιγα γεν διαφυλαττειν.

ΧΑΡ. Ειπε γαρ μοι.

> Τις γαρ ὁδ' εςι παχιςος ανηρ, ηΰτε μεγας τε,
> Εξοχος ανθρωπων κεφαλην και ευρεας ωμες;(35)

ΕΡΜ. Μιλων ἑτος ὁ εκ Κροτωνος αθλητης. επικροτεσι δ' αυτῳ οἱ Ἑλληνες, ὁτι τον ταυρον αραμενος φερει δια τε ςαδιε μεσε. (36)

ΧΑΡ. Και ποσῳ δικαιοτερον αν εμε, ω Ἑρμη, επαινειεν, ὁς αυτον σοι (37) τον Μιλωνα μετ ολιγον ξυλλαβων ενθησομαι ες το σκαφιδιον, ὁποταν ἡκη προς ἡμας ὑπο τε αμαχωτατε των ανταγωνιςων καταπαλαισθεις, τε θανατε, μηδε ξυνεις, ὁπως αυτον ὑποσκελιζει; (38) κατα οιμωξεται ἡμιν δηλαδη, μεμνημενος των ςεφανων τετων και τε κροτε· νυν δε μεγα φρονει, θαυμαζομενος επι τη τε ταυρε φορα. τι εν; οιηθωμεν αρα ελπιζειν (39) αυτον και τεθνηξεσθαι ποτε;

ΕΡΜ.

(34) αυτη Σκ.) ſub. συν. euomuit plures ῥαψωδιας, interque illas Scyllam et Charybdin.

(35) τις γαρ ὁδ' - ωμες) παρωδια verſuum Homericorum, ex Ιλ. γ. 226. ſeqq.

(36) οτι τ. τ. αρ. φ.-) hiſtoria ſatis nota.

(37) αυτον σοι) ſic nos, *der ich dir bald etc.*

(38) οπ. αυτ. υποσκ.) ſub. θανατος.

(39) ελπιζειν) pr. φοβειν, vel ſimili verbo: ſic et

ελπεσθαι

ΕΡΜ. Ποθεν εκεινος θανατω νυν μνημονευσειεν αν εν ακμη τοσαυτη;

ΧΑΡ. Εα τουτον, ουκ εις μακραν γελωτα ἡμιν παρεξοντα, ὁποτ' αν πλεη, μηδε εμπιδα, ουχ ὁπως ταυρον, ετι αρασθαι δυναμενος. — Συ δε μοι εκεινο ειπε, τις τ' αρ' εδ' αλλος ὁ σεμνος ανηρ, ουχ Ἑλλην, ὡς εοικεν, απο γουν της στολης;

ΕΡΜ. Κυρος, ω Χαρων, ὁ Καμβυσου, ὁς, την αρχην παλαι Μηδων εχοντων, νυν Περσων ηδη εποιησεν ειναι· και Ασσυριων εναγχος ουτος εκρατησε, και Βαβυλωνα παρεστησατο· και νυν (40) ελασειοντι επι Λυδιαν εοικεν, ὡς καθελων τον Κροισον αρχοι ἁπαντων.

ΧΑΡ. Ὁ Κροισος δε που ποτε κακεινος εστιν;

ΕΡΜ. Εκεισε αποβλεψον ες την μεγαλην ακροπολιν, την το τριπλουν (41) τειχος. Σαρδεις εκειναι, και τον Κροισον αυτον ὁρας ηδη επι κλινης χρυσης καθημενον, Σολωνι τω Αθηναιω διαλεγομενον. βουλει ακουσωμεν αυτων, ὁ, τι και λεγουσι; (42)

ΧΑΡ.

ελπεσθαι, ap. Orph. Arg. 1146. et 1352. sic *sperare* ap. Virg. Aen. IV. 414.

(40) Βουβ. παρεστησατο, και νυν -) Impingat, licet, contra rerum gestarum seriem Lucianus, excursionemque in Lydiam post captam iam Babylona factam fingat. Ingeniosi non semper Tabb. Schraderi chronologicas ad manus habent.

(41) την τ. τριπλουν τ.) υπανεστεον, εχουσαν.

(42) βουλει ακουσωμεν -) non acutissimos tantum oculos Mercurio debet Charon, sed et aurium subtilitatem plane

ΧΑΡ. Πανυ μεν ϛν.

ΚΡΟΙΣ. Ω ξενε Αθηναιε, ειδες γαρ μϛ τον πλϛτον, και τϛς θησαυρϛς, και όσος ασημος χρυσος εϛιν ήμιν, και την αλλην πολυτελειαν, ειπε μοι, (43) τινα ἡγῃ των παντων ανθρωπων ευδαιμονεϛατον ειναι;

ΧΑΡ. Τι αρα ὁ Σολων ερει;

ΕΡΜ. Θαῤῥει· ϛδεν αγεννες, ω Χαρων.

ΣΟΛ. Ω Κροισε, ολιγοι μεν οἱ ευδαιμονες· εγω δε, ὡν οιδα, Κλεοβιν και Βιτιδν ἡγϛμαι ευδαιμονεϛατϛς γενεσθαι, τϛς της ἱερειας παιδας. (44)

ΧΑΡ. Της Αργοθεν φησιν ϛτος, τϛς ἁμα πρωην αποθανοντας, επει την μητερα ὑποδυντες (45) ἑιλκυσαν επι της απηνης αχρι προς το ἱερον;

ΚΡΟΙ. Εϛω! Εχετωσαν τα πρωτα εκεινοι της ευδαιμονιας· ὁ δευτερος δε, τις αν ειη;

ΣΟΛ.

plane mirabilem, qui, a Graecia inde, quae Sardibus Croesus et Solon colloquuntur, quasi e praesentibus audit. Audax sane est haec fictio!

(43) ειδες - ειπε μοι) Soloni Croesus, quid respondeat ille, suggerere quasi vult, nihilque aliud exspectare videtur, quam haec: „quin cum fortunatissimum pronunciem esse, cuius tantas opes, tantum splendorem viderim?„ at quam in fortunis longe aliis *veram* felicitatem ponit Solon!

(44) τ. της ἱερ. π.) cur *venustius*, vti Mos. Sol. putat, haec Charon dicat, quam Solon, equidem non video. — Ceterum fons historiae huius est HERODOTVS, ex quo hausere CICERO, *Sextus Empiricus*, alii, praeter nostrum.

(45) ὑποδυντες) τῳ ζυγῳ.

ΣΟΛ. Τελλος ὁ Αθηναιος, ὁς ευ τε εβιω και απεθανεν ὑπερ της πατριδος.

ΚΡΟΙ. Εγω δε, καθαρμα, ȣ σοι δοκω ευδαιμων ειναι; (46)

ΣΟΛ. Ουδεπω οιδα, Κροισε, ην μη προς το τελος αφικη τȣ βιȣ. ὁ γαρ θανατος ακριβης ελεγχος των τοιȣτων, και το αχρι προς το τερμα ευδαιμονως διαβιωναι. (47)

ΧΑΡ. Καλλιστα, ω᾽ Σολων, ὁτι ἡμων ȣκ επιλελησαι, αλλα το πορθμειον αυτο αξιοις γενεσθαι την περι τοιȣτων κρισιν. — Αλλα τινας εκεινȣς ὁ Κροισος εκπεμπει, η τι και επι των ωμων φερȣσι;

ΕΡΜ. Πλινθȣς τῳ Πυθιῳ χρυσας ανατιθησι, μισθον των χρησμων, (48) ὑφ᾽ ὡν και απολειται μικρον ὑστερον· φιλομαντις δε ανηρ εκτοπως.

ΧΑΡ. Εκεινο γαρ (49) εστιν ὁ χρυσος το λαμπρον, ὁ αποστιλβει, το ὑπωχρον μετ᾽ ερυθηματος. νυν γαρ πρωτον ειδον, ακȣων αει.

ΕΡΜ. Εκεινο, ω Χαρων, το αοιδιμον ονομα (50) και περιμαχητον.

ΧΑΡ.

(46) εγω δε καθ. -) δεσποτικον satis hoc est.

(47) το - διαβι.) legendum esse τȣ sentio cum Hemsterhusio, vt iunctum sit cum των τοιȣτων. Ipsa sententia saepius exposita occurrit apud scriptores quam plurimos, respicitque ad dictum, quod Soloni tribuitur.

(48) χρησμων) oraculum celebre de Croeso Halyn penetrante.

(49) γαρ) pro, ȣν.

(50) ονομα) Mos. Sol. coniecit, πραγμα. „ Si quid omnino

ΧΑΡ. Και μην ουχ' ὁρω, ὁ, τι αγαθον αυτῳ προσεςιν, ει μη αρα τουτο (51) μονον, ὁτι βαρυνονται οἱ φεροντες αυτο.

ΕΡΜ. Ου γαρ οισθα, ὁσοι πολεμοι δια τουτο, και επιβουλαι, και λῃςηρια, και επιορκιαι, και φονοι και δεσμα, και πλους μακρος, και εμποριαι και δουλειαι;

ΧΑΡ. Δια τουτο, ω Ερμη, το μη πολυ του χαλκου διαφερον; οιδα γαρ τον χαλκον, οβολον, ὡς οισθα, παρα των καταπλεοντων ἑκαςου εκλεγων. (52)

ΕΡΜ. Ναι· αλλ' ὁ χαλκος μεν πολυς, ὡςε ου πανυ σπουδαζεται ὑπ' αυτων· τουτον δε ολιγον εκ πολλου του βαθους οἱ μεταλλευοντες ανορυττουσι· πλην αλλ' εκ της γης και ουτος, ὡσπερ ὁ μολιβδος και ταλλα.

ΧΑΡ.

omnino mutandum foret, inquit Hemſt. pro πραγμα maluissem χρημα vel κτημα, sed sarta tecta maneat optima lectio. „ Exspectandum iam erat, vt dicat Hemsterhusius, cur *maneat optima* haec lectio? aut quî explicanda sit? Postulare enim sensus videtur το χρημα aut tale quid. sed is, qui paullo ante multis Veterum locis, *aurum* χλωρον *vel pallidum esse* demonstrauerat, heic verbum non amplius! — Et nos το ονομα retinemus, et interpretamur ita. Seruit hoc verbum heic περιφρασει, et locutio plena haec est: το αοιδιμον ονομα του χρυσου και περιμαχητον. Ονομα του χρυσου itaque idem est, quod χρυσος. Ex Graecis quidem exemplumnobis iam non occurrit. at Latinorum *nomen* sic vsurpari meminimus. Drakenb. ad Sil. Ital. ex Petronio affert *nomen amicitiae*, et, *imperii* deserto *nomine* fugit. vbi vid. eum, pag. 255.

(51) τουτο) i. e. ει μη αρα τουτο αγαθον εςι. Legere volebat Hemſt. ει μη αρα εντιμον, οτι —

(52) εκλεγων) verbum his rebus proprium · dicitur enim εκλεγειν φορους, τελος. Hemſt.

ΧΑΡ.. Δεινην τινα λεγεις των ανθρωπων την αβελτηριαν, ει τοσυτον ερωτα ερωσιν ωχρυ και βαρεως κτηματος.

ΕΡΜ. Αλλ' υ Σολων γε εκεινος, (53) ω Χαρων, ερων αυτυ φαινεται, ὡς ὁρας· καταγελα γαρ τυ Κροισυ, και της μεγαλαυχιας τυ Βαρβαρυ· και μοι δοκειν, ερεσθαι τι βυλεται αυτον· επακυσωμεν ϐν (54)

ΣΟΛ. Ειπε μοι, ω Κροισε, οιει γαρ τι δεισθαι των πλινθων τυτων τον Πυθιον;

ΚΡΟΙΣ. Νη Δι'· υ γαρ εςιν αυτῳ εν Δελφοις αναθημα υδεν τοιυτον.

ΣΟΛ. Ουκυν μακαριον οιει τον θεον αποφαινειν, ει κτησαιτο εν ταις αλλαις και πλινθυς χρυσας;

ΚΡΟΙ. Πως γαρ υ;

ΣΟΛ. Πολλην μοι λεγεις, ω Κροισε, πενιαν εν υρανῳ,

(53) αλλ' υ Σολων γε εκεινος -) Mirum eſt, dixerat Charon, ita inſanire homines, vt rem hancce pallidam tantòpere ament. Atqui, reſpondet Mercurius, amant eam non omnes. ſapientiſſimus quisque contemnit aurum, vti vides hoc in Solone.

(54) επακυσωμεν ϐν) Tribuenda haec videntur Charonti, et, ſecus quam Hemſterhuſio, referre aliquid putem, an Charon haec dicat, an Mercurius? — Enumerarat omnia, quae aurum effoſſum humano generi induxit, mala Mercurius. Miratur dementiam hominum Charon. Eſſe tamen, regerit Deus, qui id reſpuant. Ais? inquit Charon. ſitne tamen vnus alterue ita ſapiens? id *meis biſce auribus audire* me oportet. Taceamus itaque, vt audiam, quae dicit Solon!

ϰεραν͂ῳ, (55) ει εκ Λυδιας μεταςελλεσθαι το χρυσιον δεησει αυτȣς, ην επιθυμησωσι.

ΚΡΟΙ. Πȣ γαρ τοσȣτος αν γενοιτο χρυσος, όσος παρ' ήμιν;

ΣΟΛ. Ειπε μοι, σιδηρος δε Φυεται εν Λυδιᾳ;

ΚΡΟΙΣ. Ου πανυ τι.

ΣΟΛ. Τȣ βελτιονος (56) αρα ενδεεις εςε.

ΚΡΟΙ. Πως αμεινων ὁ σιδηρος χρυσιȣ;

ΣΟΛ. Ην αποκρινῃ μηδεν αγανακτων, μαθοις αν.

ΚΡΟΙ. Ερωτα, ω Σολων.

ΣΟΛ. Ποτερον αμεινȣς δι σωζοντες τινας, η οἱ σωζομενοι προς αυτων;

ΚΡΟΙ. Ὁι σωζοντες δηλαδη.

ΣΟΛ. Αρ' ȣν, ην Κυρος, ὡς λογοποιȣσι τινες, επιῃ Λυδοις, χρυσας μαχαιρας συ ποιησῃ τῳ ςρατῳ, η ὁ σιδηρος αναγκαιος τοτε;

ΚΡΟΙΣ. Ὁ σιδηρος δηλαδη.

ΣΟΛ. Και ειγε μη τȣτον παρασκευασαιο, οιχοιτο (57) αν σοι ὁ χρυσος ες Περσας αιχμαλωτος.

ΚΡΟΙΣ. Ευφημει, ω ανθρωπε.

ΣΟΛ. Μη γενοιτο μεν ȣν ȣτω ταυτα· Φαινῃ δ' ȣν αμεινω τον σιδηρον ὁμολογων.

ΚΡΟΙ.

(55) πολλην - ȣρανῳ) quasi vero tanta sit in caelo penuria!

(56) τȣ βελτιονος) eo, quod utilius erat, caretis.

(57) οιχοιτο) verendum est, ne — —

ΚΡΟΙ. Ουκουν και τῳ Θεῳ κελευεις σιδηρας πλινθους αποτιθεναι με, τον δε χρυσον οπισω αυθις ανακαλειν;

ΣΟΛ. Ουδε σιδηρου εκεινος γε δεησεται· αλλ᾽ ηντε χαλκον, ην τε χρυσον αναθῃς, αλλοις μεν ποτε κτημα και ἑρμαιον (58) εσῃ ανατεθεικως, Φωκευσιν η ΔελΦοις αυτοις, η τινι τυραννῳ, η λῃςῃ. τῳ δε θεῳ ολιγον μελει των σων χρυσοποιων. (59)

ΚΡΟΙ. Αει συ μου τῳ πλουτῳ προσπολεμεις και Φθονεις.

ΕΡΜ. Ου Φερει ὁ Λυδος, ω Χαρων, την παῤῥησιαν, και την αληθειαν των λογων, αλλα ξενον αυτῳ δοκει το πραγμα, πενης ανθρωπος ουχ ὑποπτησσων, το δε παριςαμενον (60) ελευθερως λεγων· μεμνησεται δ᾽ ουν μικρον ὑςερον του Σολωνος, ὁταν αυτον δεῃ ἁλοντα επι την πυραν ὑπο του Κυρου αναχθηναι· (61) ηκουσα

(58) Ἑρμαιον) εὑρημα.

(59) χρυσοποιων) Cum dubium ſit, num χρυσοποιος ſit *aurifex*, HEMSTERHVSIVS legendum coniicit χρυσοχοους. Malim ego ſyllabam τῳ χρυσοποιων addere, et legere των σων χρυσοποιητων, vti dicitur χειροποιητος, alia. „ Tuis, quae ex auro conflaſti, donis non indiget Apollo.„

(60) το παριςαμενον) id quod in mentem venit.

(61) επι την πυραν - αναχθηναι) an pyram conſcenderit Croeſus, an non? pertinet haec quaeſtio ad illam, num Herodotus, num vero Xenophon in hiſtoria Cyri verus fuerit? diſputationem, cui heic non locus. Cur vero Herodotum ſecutus ſit Samoſatenſis noſter, optime dixit HEMSTER-

ηκȣσα γαρ της Κλωθȣς πρωην αναγινωσκȣσης τα ἑκαςῳ επικεκλωσμενα· εν ὁις καȷ ταυτ᾽ εγεγραπτο, Κροισον μεν ἁλωναȷ ὑπο Κυρȣ, Κυρον δε αυτον ὑπ᾽ εκεινησι της Μασσαγετιδος αποθανειν. Ὁρας την επι τȣ ἱππȣ τȣ λευκȣ εξελαυνȣσαν;

ΧΑΡ. Νη Δια.

ΕΡΜ. Τωμυρις εκεινη εςι, καȷ την κεφαλην γε αποτεμȣσα τȣ Κυρȣ ἁυτη ες ασκον εμβαλει πληρη ἁιματος. ὁρας δε καȷ τον ὑιον αυτȣ τον νεανισκον; Καμβυσης εκεινος εςιν· ὅτος βασιλευσει μετα τον πατερα, καȷ μυρια σφαλεις εν τε Λιβυῃ καȷ Αιθιοπιᾳ το τελευταιον μανεις αποθανειταȷ, αποκτεινας τον Απιν.

ΧΑΡ. Ω πολλȣ γελωτος· (62) αλλα νυν τις αν πιςευσειεν, ὡς μετ᾽ ολιγον ὅτος μεν αιχμαλωτος εςαȷ, ὅτος δε την κεφαλην ἑξει εν ασκῳ ἁιματος; — Εκεινος δε τις εςιν, ω Ἑρμη, ὁ την πορφυραν εφεςριδα εμπεπορπημενος, ὁ το διαδημα, (63) ᾧ το δακτυλιον ὁ μαγειρος αναδιδωσι, τον ιχθυν ανατεμων Νησῳ

STERHUSIUS. „ Nimirum ſingularis illa fortunae viciſſitudo, Cyrum etiam multo grauius, quam Croeſum, proſternens, ad hanc ingenioſam fragilitatis humanae picturam optime conueniebat. „ Idem et de Cyri interitu, de quo ſtatim, tenendum.

(62) ω πολλȣ γελωτος!) o! quantam *ridendi* materiam praebent mihi homines!

(63) ο το διαδημα) ſub. εχων.

Νησω εν αμφιρυτη· (64) βασιλευς δε τις ευχεται ειναι; (65)

ΕΡΜ. Ευγε παρωδεις, ω Χαρων· αλλα Πολυκρατην ὁρας τον Σαμιων τυραννον, παρευδαιμονα οιομενον ειναι· αταρ και ὅτος αυτος, ὑπο τε παρεςωτος οικετε Μαιανδριε προδοθεις Οροιτη τω σατραπη, ανασκολοπισθησεται, αθλιος εκπεσων της ευδαιμονιας εν ακαρει τε χρονε. και ταυτα γαρ της Κλωθες επηκεσα.

ΧΑΡ. Ευγε, ω Κλωθοι, γεννικως και αυτες, (66) ω βελτιςη, και τας κεφαλας αποτεμνε, και ανασκολοπιζε, ὡς ειδωσιν ανθρωποι οντες. εν τοσετω (67) δε επαιρεσθων, ὡς αν αφ' ὑψηλοτερε αλγεινοτερον καταπεσεμενοι. εγω δε γελασομαι τοτε γνωρισας αυτων ἑκαςον γυμνον εν τω σκαφιδιω, μητε πορφυριδα, μητε τιαραν, η κλινην χρυσην κομιζοντας.

ΕΡΜ. Και τα μεν τετων ὡδε ἑξει· την δε πληθυν,

(64) Νησω εν αμφ.) ex Odyff. α. 50.

(65) βασιλευς δε τ. ευχ. ει.) Polycrates, Samiorum Princeps, de quo nota hiftoriola. — Ceterum et alterum hemiftichion Homericus cento eft.

(66) γεννικως και αυτες - και τ. κεφ. -) quid hoc? et ipfos et capita praecide! *ipfi* fi funt caefi, quid tum adhuc capita opus eft praecidere? Nifi audacior fim, velim ita legi: Ευγε, ω Κλωθοι, γεννικως κατ' αυτες. Ω βελτιςη, και τ. κεφ. αποτ. -- Euge, Clotho, fortiter contra iftos! (i. e. homines pugna!) O tu, fi me amas, perge fic, capita praecide etc.

(67) εν τοσετω) fub. χρονω, et verte, interea, vt docet Bos Ell. Graec. p. 383. ed. Schweb.

θυν, ω Χαρων, ὁρᾳς, τȢς πλεοντας αυτων, τȢς πολεμȢντας, τȢς δικαζομενȢς, τȢς γεωργȢντας, τȢς δανειζοντας, τȢς προσαιτȢντας;

ΧΑΡ. Ὁρω ποικιλην τινα τυρβην, και μεσον ταραχης τον βιον, και τας πολεις γε αυτων εοικυιας τοις σμηνεσιν, (68) εν ὁις ἁπας μεν ιδιον τι κεντρον εχει, και τον πλησιον κεντει· ολιγοι δε τινες, ὡσπερ σφηκες, (69) αγȢσι και φερȢσι τον ὑποδεεςερον· ὁ δε περιπετομενος αυτȢς εκ τ' αφανȢς ȣ̔τος οχλος, (70) τινες εισιν;

ΕΡΜ. Ελπιδες, ω Χαρων, και δειματα, και ανοιαι, και ἡδοναι, και φιλαργυριαι, και οργαι, και μιση, και τα τοιαυτα· τȢτων δε ἡ αγνοια (71) μεν κα-

(68) πολ. αυ. εοικ. σμηνεσιν) comparatio, quae ad vnguem quadrat. fimilem in vrbe extruenda dat Maro: Aen. I. 430.

Qualis apes aeftate noua per florea rura
Exercet fub fole labor — —

(69) ολιγοι δε τιν ωσπ. σφηκες) Lucianus, paucas tantummodo vefpas depraedari tenuiores, ait. poterat forte ita dicere fuis temporibus. at noftra aetate *gens vefparum* mirum quantum creuit. — Ceterum, quî Hemft. de vefpis, „ adeo noxium (eft) animalis genus, vt vel per quietem oblatum malos homines ac crudeles fignificet, interprete Artemidoro II. 22. „ haec ita ferio potuerit fcribere, miror.

(70) ο περιπετ. - ȣτ. οχλος) defcriptio poeta fane digna! fic Noftratium vnus,

die trübe Schwermuth fchwingt
Ihr trauriges Gefieder.

(71) αγνοια) offendebat Hemfterhufium, quod αμαθια

κατω συναναμεμικται αυτοις, και ξυμπολιτευεται γε, νη Δια, και αμαθια, και απορια, και φιλαργυρια· ὁ φοβος δε, και ελπιδες, ὑπερανω πετομενοι, ὁ μεν εμπιπτων εκπληττει, ενιοτε και ὑποπτησσειν ποιει· αἱ δ' ελπιδες ὑπερ κεφαλης αιωρουμεναι, ὁποτ' αν μαλιστα οιηται τις επιληψεσθαι αυτων, αναπταμεναι οιχονται, κεχηνοτας αυτους απολιπουσαι, ὁπερ και Ταυταλον κατω πασχοντα ὁρᾳς ὑπο του ὑδατος. (72) Ην δ' ατενισης, κατοψει και Μοιρας ανω επικλωθουσας ἑκαστῳ τον ατρακτον, (73) αφ' οὑ ηρτησθαι ξυμβεβηκεν ἁπαντας εκ λεπτων νηματων. ὁρᾳς, καθαπερ αραχνια τινα καταβαινοντα εφ' ἑκαστον απο των ατρακτων;

ΧΑΡ. Ὁρω πανυ λεπτον ἑκαστῳ νημα επιπεπλεγμενον γε τα πολλα, τουτο μεν εκεινῳ, εκεινο δε αλλῳ.

ΕΡΜ.

θια, quae nihil admodum ab αγνοιᾳ differat, statim subsequatur. Ego haec verba ita interpretor, vt αγνοια sit id, quod homines, quid conducat ipsis, item quid noceat, quid agendum sit, quid non? etc. nesciant, αμαθια vero, quod litteris, quae ingenium acuant, mentemque perpoliant, non imbuti sint.

(72) οπ. κ. Ταντ. - υδατος) Patronos inuenit Tantalus Sapientes Indiae, qui eum et Diis amicum faciunt et in Olympo collocant. Locus, ad quem specto, est in Philostr. Vita Apoll. Tyan. III. 25. vbi haec verba: πλην ηγεισθαι χρη τον Ταυταλον μη τη γλωττη υφεντα, κοινωνησαντα δε ανθρωποις του νεκταρος (i. e. sapientiae dogmata eum libere propinasse) υπο των ποιητων ελαυνεσθαι, θεοις δε μηδε διαβεβληcθαι αυτον.

(73) Μοιρας ατρακτον) singularem Φαντασιας vim haec et sequentia produnt.

ΕΡΜ. Εικοτως, (74) ω πορθμευ· ἑιμαρται γαρ εκεινῳ μεν ὑπο τȣτȣ φονευθηναι, τȣτῳ δε, ὑπ' αλλȣ· και κληρονομησαι γε τȣτον μεν εκεινȣ, ὁτȣ αν ῃ μικροτερον το νημα, εκεινον δε αυ τȣτȣ· τοιονδε γαρ τι ἡ επιπλοκη δηλοι· ὁρᾳς δ' ȣν απο λεπτȣ κρεμαμενȣς ἁπαντας; και ȣτος μεν ανασπασθεις ανω μετεωρος εςι, και μετα μικρον καταπεσων, απορῥαγεντος τȣ λινȣ, επειδαν μηκετι αντεχῃ προς το βαρος, μεγαν τον ψοφον εργασεται· (75) ȣτος δε ολιγον απο γης αιωρȣμενος, αν και πεσῃ, αψοφητι κεισεται, μογις και τοις γειτοσιν εξακȣσθεντος τȣ πτωματος.

ΧΑΡ. Παγγελοια ταυτα, (76) ω Ἑρμη.

ΕΡΜ. Και μην ȣδ' ειπειν εχοις αν κατα την αξιαν, ὁπως εςι καταγελαςα, ω Χαρων, και μαλιςα ἁι αγαν σπȣδαι αυτων, και το μεταξυ των ελπιδων οιχεσθαι, αναρπαςȣς γιγνομενȣς ὑπο τȣ βελτιςȣ Θανατȣ. αγγελοι δε αυτȣ, και ὑπηρεται μαλα πολλοι, ὡς ὁρᾳς, ηπιαλοι και πυρετοι, και φθοαι, και περιπνευμονιαι, και ξιφη, και λῃςηρια, και κωνεια, και δικαςαι, και τυραννοι· και τȣτων ȣδεν ολως αυτȣς εισερχεται, (77) ες' αν ευ πραττωσιν· ὁταν δε

(74) Εικοτως) vera vides, non falleris.

(75) και ȣτ. ανασπ. α. μετ. - εργασ.) paullo ante dixat: εν τοσȣτῳ δ' επαιρεσθων - καταπεσȣμενοι.

(76) παγγελοια ταυτα) immo vero, Charon, debemus tibi risum!

(77) εισερχεται) idem quod επερχεσθαι. „nihil horum animo eorum obuersatur.„

δε σφαλωσι, πολυ το οττοτοι, και αι αι, και ωμοι μοι. ει δ' ευθυς εξ αρχης ενενοων, ότι θνητοι τε εισιν αυτοι, και ολιγον τυτον χρονον επιδημησαντες τω βιω απιασιν, ώσπερ εξ ονειρατος, παντα υπερ γης αφεντες, εζων δε αν σωφρονεστερον, και ηττον ηνιωντο αποθανοντες· νυν δε ες αει ελπισαντες χρησεσθαι τοις παρυσιν, (78) επειδαν επιςας ὁ ὑπηρετης καλη και απαγη, πεδησας τω πυρετω, η τη φθοη, αγανακτυσι προς την αγωγην, υ ποτε προσδοκησαντες αποσπασθησεσθαι αυτων. Η τι γαρ υκ αν ποιησειεν εκεινος, ὁ την οικιαν σπυδη οικοδομυμενος, και τυς εργατας επισπερχων, ει μαθοι, ότι ἡ μεν ἑξει τελος αυτω, ὁ δε, αρτι επιθεις τον οροφον, απιοι, τω κληρονομω καταλιπων απολαυειν αυτης, αυτος μηδε δειπνησας αθλιος εν αυτη; (79) εκεινος μεν γαρ ὁ χαιρων, ότι αῤῥενα παιδα ετεκεν αυτω η γυνη, και φιλυς δια τυτο ἑςιων, και τὀνομα τυ πατρος τιθεμενος, ει ηπιςατο, ὡς ἑπτετης γενομενος ὁ παις τεθνηξεται, αρα αν σοι δοκη χαιρειν επ' αυτω γενομενω; (80) αλλα το αιτιον, ότι τον μεν ευτυχυντα

(78) τοις παρυσιν) fub. χρημασι vel κτημασι.

(79) ο την οικιαν - μηδε δειπν. εν αυ.) hoc inprimis lugebant Graeci, fi domum, exftrui coeptam, non perficere licebat, morfque eos de fcena, antequam diem in ea hilarem egerint cum amicis, decedere iubebat.

(80) αρα αν σοι δοκη χ. επ' αυ. γ.) quare
— prudens futuri temporis exitum
Caliginofa nocte premit Deus.

τα επι τῳ παιδι εκεινον ὁρᾳ, τον τȣ αθλητȣ πατερα τȣ Ολυμπια νενικηκοτος. τον γειτονα δε, τον εκκομιζοντα το παιδιον, ȣχ ὁρᾳ, ȣδε οιδεν αφ' οἱας αυτῳ κροκης εκρεματο. Τȣς μεν γαρ περι των ὁρων διαφερομενȣς ὁρᾳς, ὁσοι εισι, και τȣς ξυναγειροντας τα χρηματα, ειτα, πριν απολαυσαι αυτων, καλȣμενȣς ὑφ' ὡν ειπον επιοντων αγγελων τε και ὑπηρετων.

ΧΑΡ. Ὁρω παντα ταυτα, και προς εμαυτον εγω εννοω, τι το ἡδυ αυτοις παρα τον βιον, η τι εκεινο εστιν, ȣ στερȣμενοι αγανακτȣσιν;

ΕΡΜ. Ην γȣν τȣς βασιλεας ιδῃ τις αυτων, (81) οἱπερ ευδαιμονεστατοι ειναι δοκȣσιν, εξω τȣ αβεβαιȣ και, ὡς φῃς, αμφιβολȣ της τυχης, πλειω των ἡδεων τα ανιαρα εὑρησει προσοντα αυτοις, φοβȣς, και ταραχας, και μισῃ, και επιβȣλας, και οργας, και κολακειας. τȣτοις γαρ ἁπαντες ξυνεισιν. εω πενθη και

(81) ην γ. τȣς βασιλ. ι. τ. αυ.) Lubens difcedo in fententiam Hemfterhufii, qui ea, quae heic Mercurio tribuuntur, Charonti adiudicat. Dixerat Charon: „cogitaui mecum, quid tandem hominibus vitam reddere poffit adeo iucundam.„ Iam interpellat eum Mercurius. cur non eloqui eum, quae fentit, patitur? Pergat igitur Charon ita ratiocinando: Cum nec Reges habent, quo gaudeant, perpetuique eos tumultus, morbi, odia etc. inuadant, nihil fane video, quod priuatos tanto vitae amore accendere poffit. Addit deinde, quafi corollarii loco, comparationem vitae humanae cum bulla aquea. Viderint de hoc, qui locum accurate infpexerint!

και νοσυς, και παθη, εξ ισοτιμιας (82) δηλαδη αρχοντα αυτων. Ὁπυ δε τα τυτων πονηρα, λογιζεσθαι καιρος, δια τα των ιδιωτων αν ειη.

ΧΑΡ. Εθελω γυν σοι, ω Ἑρμη, ειπειν, ῳ τινι εοικεναι μοι εδοξαν οἱ ανθρωποι, και ὁ βιος ἁπας αυτων. ηδη ποτε πομφολυγας (83) εν ὑδατι εθεασω ὑπο κρυνῳ τινι καταρραττοντι ανισαμενας; τας φυσαλλιδας λεγω, αφ' ὡν ξυναγειρεται ὁ αφρος. εκεινων τοινυν ἁι μεν τινες μικραι εισι, και αυτικα εκραγεισαι απεσβησαν· (84) ἁιδ' επι πλεον διαρκυσι· και προσχωρυσων αυταις των αλλων ἁυται ὑπερφυσωμεναι ες μεγιστον ογκον αιρονται· ειτα μεντοι κακειναι παντως εξερραγησαν ποτε· υ γαρ οιον τε αλλως γενεσθαι. τυτο εστιν ὁ ανθρωπων βιος. (85) ἁπαντες ὑπο πνευματος εμπεφυσημενοι, οἱ μεν μειζυς, οἱδ' ελαττυς. και οἱ μεν ολιγοχρονιον εχυσι, και ωκυμορον το φυσημα· οἱ δε αμα τῳ ξυστηναι επαυσαντο· πασι δ' υν αποῤῥαγηναι αναγκαιον.

ΕΡΜ. Ουδεν χειρον συ τυ Ὁμηρυ εικασας, ω Χαρων, ὁς φυλλοις το γενος αυτων ὁμοιοι. (86)

ΧΑΡ.

(82) εξ ισοτιμιας) quae *aequo* pulſant *pede* turres regum et tuguria pauperum.

(83) πομφολυγας) η επιπεσοντος υδατος εν υποκειμενῳ υδατι επαναστασις. Schol. Arati.

(84) απεσβησαν) αποσβηναι ειωθασι. HEMST.

(85) τυτο εστ. ανθρ. βιος) παραδειγμα αγαν ευφυες. Schol. Voſſ.

(86) ὁς φυλλοις - ομοιοι) locus princeps eſt Ιλιαδ. ζ. 146. alter Φ. 464.

ΧΑΡ. Και τοιουτοι οντες, ω Ἑρμη, ὁρας, οἱα ποιουσιν αρχων περι, και τιμων, και κτησεων ἁμιλλωμενοι, ἁπερ ἁπαντα καταλιποντας αυτους δεησει, ἑνα οβολον εχοντας, ἡκειν παρ' ἡμας. Βουλει ουν, επειπερ εφ' ὑψηλου εσμεν, αναβοησας παμμεγεθες (87) παραινεσω αυτοις, απεχεσθαι μεν των ματαιων πονων, ζην δε αει τον θανατον προ οφθαλμων εχοντας, λεγων. Ω ματαιοι, τι εσπουδακατε περι ταυτα; παυσασθε καμνοντες· ου γαρ ες αει βιωσεσθε· ουδεν των ενταυθα σεμνων (88) αἰδιον εστιν, ουδ' αν απαγοι τις αυτων τι ξυν αυτῳ αποθανων. αλλ' αναγκη, τον μεν γυμνον οιχεσθαι· την οικιαν δε, και τον αγρον, και το χρυσιον αει αλλων ειναι, και μεταβαλλειν τους δεσποτας. Ει ταυτα και τα τοιαυτα εξ επηκοου εμβοησαιμι αυτοις, ουκ αν οιει μεγα ωφεληθειναι τον βιον, και σωφρονεστερους αν γενεσθαι παραπολυ;

ΕΡΜ. Ω μακαριε, ουκ οισθα, ὁπως αυτους ἡ αγνοια και ἡ απατη διατεθεικασιν, ὡς μηδ' αν τρυπανῳ ετι διανοιχθηναι αυτοις τα ωτα· τοσουτῳ κηρῳ εβυσαν αυτα, ὁιον περ Οδυσσευς (89) τους ἑταιρους εδρασε δεει της Σειρηνων ακροασεως. Ποθεν ουν αν εκεινοι δυνη-

(87) αναβ. παμμ.) sic Plautus: exclamare *maximum.* HEMST.

(88) ουδ. τ. εντ. σεμνων) ουδεν των ἡμιν ενταυθα σεμνων οντων.

(89) οιον περ Οδ.) alludit ad Odyss. μ'. v. 173. seqq.

δυνηθειεν ακȣσαι, ην και συ κεκραγως διαῤῥαγης; όπερ γαρ παρ' ύμιν ή Ληθη δυναται, τȣτο ενταυθα η αγνοια εργαζεται. πλην αλλ' εισιν αυτων ολιγοι, ȣ παραδεδεγμενοι τον κηρον ες τα ωτα, προς την αληθειαν αποκλιναντες, οξυ δεδορκοτες ες τα πραγματα, και κατεγνωκοτες, όια εςιν.

ΧΑΡ. Ουκȣν εκεινοις γȣν εμβοησωμεν;

ΕΡΜ. Περιττον τȣτο λεγειν προς αυτȣς, ά ισασιν. Ορᾳς, όπως αποσπασαντες των πολλων (90) καταγελωσι των γιγνομενων, και ȣδαμη ȣδαμως αρεσκονται αυτοις, αλλα δηλοι εισι δρασμον ηδη βȣλευοντες παρ' ύμας απο τȣ βιȣ; και γαρ μισȣνται, ελεγχοντες αυτων τας αμαθιας.

ΧΑΡ. Ευγε, ω γενναδαι· πλην πανυ ολιγοι εισιν, ω 'Ερμη.

ΕΡΜ. 'Ικανοι και τȣτοι.- Αλλα κατιωμεν ηδη.

ΧΑΡ. 'Εν ετι εποθȣν ειδεναι, ω 'Ερμη, και μοι δειξας αυτο εντελη εση την περιηγησιν πεποιηκως, τας αποθηκας των σωματων, (91) ίνα κατορυττȣσι, θεασασθαι. (92)

ΕΡΜ. Ηρια, ω Χαρων, και τυμβȣς, και ταφȣς κα-

(90) αποσπ. τ. πολλων) sub. εαυτȣς. „ semoti a populo.„

(91) αποθ. τ. σωμ.) Conuenit hoc Charonti, cetera nominum, queis vti solent homines, ignaro. Nesciebat ταφȣς, τυμβȣς etc. hinc sunt illi αποθηκαι σωματων.

(92) θεασασθαι) supple εποθȣν θεασασθαι.

καλȣσι τα τοιαυτα. πλην τα προ των πολεων εκεινα τα χωματα ὁρας, και τας ςηλας και πυραμιδας; εκεινα παντα νεκροδοχεια και σωματοφυλακια εςι.

ΧΑΡ. Τι ȣν εκεινοι ςεφανȣσι τȣς λιθȣς, (93) και χριȣσι μυρῳ; οἱ δε και πυραν νησαντες προ των χωματων και βοθρον τινα ορυξαντες, καιȣσι τε ταυτι τα πολυτελη δειπνα, και εις τα ορυγματα οινον και μελικρατον, ὡς γȣν εικασαι, εγχεȣσιν;

ΕΡΜ. Ουκ οιδα, ω πορθμευ, τι ταυτα προς τȣς εν ᾅδȣ· πεπιςευκασι δ' ȣν τας ψυχας αναπεμπομενας κατωθεν δειπνειν μεν ὡς οἱον τε περιπετομενας την κνισσαν και τον καπνον, πινειν δε απο τȣ βοθρȣ το μελικρατον.

ΧΑΡ. Εκεινȣς ετι πινειν, η εσθιειν, ὧν τα κρανια ξηροτατα; καιτοι γελοιος ειμι σοι λεγων ταυτα, ὁσημεραι καταγοντι αυτȣς. οισθ' ȣν, ει δυναιντ' αν ετι ανελθειν ἁπαξ ὑποχθονιοι γενομενοι; επειτοι καὶ παγγελοια αν, ω Ἑρμη, επασχον, ȣκ ολιγα πραγματ' εχων, ει εδει μη καταγειν μονον αυτȣς, αλλα και αυθις αναγειν πιομενȣς. Ω ματαιοι της ανοιας, ȣκ ειδοτες ἡλικοις ὁροις διακεκριται τα νεκρων και τα ζωντων πραγματα· και οἱα τα παρ' ἡμιν εςι· και ὁτι

Κατθαν' ὁμως ὁ, τ' ατυμβος ανηρ, ὁς τ' ελλαχε τυμβȣ,

 Εν

(93) τ. λιθȣς) τὰς ςήλας.

Εν δε ιη τιμη Ιρος κρειων τ' Αγαμεμνων,
Θερσιτη δ' ισος Θετιδος παις ηΰκομοιο.
Παντες δ' εισιν όμως νεκυων αμενηνα καρηνα
Γυμνοι τε ξηροιτε κατ' ασφοδελον λειμωνα. (94)

ΕΡΜ. 'Ηρακλεις, ὡς πολυν τον Ὁμηρον επαντλεις. αλλ' επειπερ ανεμνησας με, θελω σοι δειξαι τον τε Αχιλλεως ταφον· όρας τον επι τη θαλαττη; Σιγειον μεν εκεινο το Τρωϊκον· αντικρυ δε ὁ Αιας τεθαπται εν τῳ Ῥοιτειῳ.

ΧΑΡ. Ου μεγαλοι, ω Ερμη, όι ταφοι. — Τας πολεις τας επισημους ηδη δειξον μοι, άς κατω ακουομεν· την Νινον την Σαρδαναπαλε, και Βαβυλωνα, και Μυκηνας, και Κλεωνας, και την Ιλιον αυτην. πολλους γουν μεμνημαι διαπορθμευσας εκειθεν, ὡς δεκα όλων ετων μηδε νεωλκησαι, μηδε διαψυξαι (95) το σκαφιδιον.

ΕΡΜ. Ἡ Νινος μεν, ω Πορθμευ, απολωλεν ηδη, και ουδεν ιχνος ετι λοιπον αυτης· ουδ' αν ειπης, οπου ποτ' ην. ἡ Βαβυλων δε σοι εκεινη εστιν, ἡ ευπυργος, ἡ τον μεγαν περιβολον, ου μετα πολυ και αυτη ζητηθησομενη, ὡσπερ ἡ Νινος. Μυκηνας δε, και Κλεωνας αισχυνομαι δειξαι σοι· και μαλιστα το Ιλιον. αποπνιξ-

(94) Κατθανε-) versus hi ex variis Homeri locis conflipati funt, maxime ex Ιλιαδ. ι. 319. Οδ. κ. 521. λ. 538.

(95) διαψυξαι) ξηραινειν, ανεμιζειν. ad ventum ficcare.

πνιξεις γαρ ευ οιδ' ότι τον 'Ομηρον κατελθων επι τη μεγαλογορια των επων· πλην αλλα παλαι μεν ησαν ευδαιμονες, νυν δε τεθνηκασι και αυται· αποθνησκεσι γαρ, ω Πορθμευ, και πολεις, ώσπερ ανθρωποι· και το παραδοξοτερον και ποταμοι όλοι. Ιναχε εν εδε ταφος εν Αργει ετι καταλειπεται.

ΧΑΡ. Παπαι των επαινων, 'Ομηρε, και των ονοματων, Ιλιον ίρην, και ευκτιμεναι Κλεωναι. — Αλλα μεταξυ λογων, τινες εισιν οί πολεμεντες εκεινοι, η ύπερ τινος αλληλες φονευεσιν;

ΕΡΜ. Αργειες όρας, ω Χαρων, και Λακεδαιμονιες, και τον ήμιθνητα εκεινον ςρατηγον Οθρυαδην, τον επιγραφοντα το τροπαιον τω αυτε άιματι.

ΧΑΡ. 'Υπερ τινος δε αυτοις, ω 'Ερμη, ό πολεμος;

ΕΡΜ. 'Υπερ τε πεδιε αυτε, εν ώ μαχονται.

ΧΑΡ. Ω της ανοιας, όιγε εκ ισασιν, ότι καν όλην την Πελοποννησον έκαςος αυτων κτησωνται, μογις αν ποδιαιον λαβοιεν τοπον παρε τε Αιακε· το δε πεδιον τετο αλλοτε αλλοι γεωργησεσι, πολλακις εκ βαθρων το τροπαιον αναςπασαντες τω αροτρω.

ΕΡΜ. 'Ουτω μεν ταυτα εςαι· ήμεις δε καταβαντες ηδη, και κατα χωραν ευθετησαντες αυθις τα ορη, απαλλαττωμεθα, εγω μεν, καθα εςαλην, συ δε επι το πορθμειον· ήξω δε σοι μετ' ολιγον και αυτος νεκροςολων.

ΧΑΡ. Ευγε εποιησας, ω 'Ερμη· ευεργετης αει ανα-

αναγεγραψη· (96) *ωναμην δε τι δια σε της αποδημιας. οια εϛι τα των κακοδαιμονων ανθρωπων πραγματα! βασιλεις, πλινθοι χρυσοι, ἑκατομβαι, μαχαι· Χαρωνος δε, ουδεις λογος.*

---

(96) *ευεργ. αναγ.*) *ευεργετην ανακηρυττειν, ευεργ. αναγραφειν* notae ſunt formulae, inde ductae, quod nummi, marmora, etc. eum, qui de rep. bene meritus erat, vt *ευεργετην* deſignabant.

ΛΟΥ-

ΛΟΥΚΙΑΝΟΥ ΒΙΩΝ ΠΡΑΣΙΣ. (1)

ΖΕΥΣ ΕΡΜΗΣ ΠΥΘΑΓΟΡΑΣ ΔΙΟΓΕΝΗΣ ΔΗΜΟΚΡΙΤΟΣ ΗΡΑΚΛΙΤΟΣ ΣΩΚΡΑΤΗΣ ΧΡΥΣΙΠΠΟΣ ΦΙΛΟΣΟΦΟΣ ΑΓΟΡΑΣΤΑΙ.

ΖΕΥΣ. Συ μεν διατιθει τα βαθρα. και παρασκευα-

(1) Locum dedimus et huic et sequenti libello in Syntagmate nostro, quod omnino vterque ingeniosissimus est et facetissimus. Ridet Lucianus, non philosophos ipsos — quis enim v. c. Socratem rideat? — sed id, quod vel somniarunt, vel errarunt.

— *Den Mann nicht, seine Lehren,*
Das Wahre nicht, obgleich nach aller Schwaermer Art
Mit Unsinn und Schimaeren wohl gepaart,
Nur diese trifft der Spott,

Vti canit elegantissima *Musarion* S. 118. Est enim hic lectionis Lucianeae fructus forte maximus, quod discas, in verba magistri non iurare, auctoritatibus diffidere, sub examen tuum vocare omnia, quaeque bonae notae non sunt, reiicere. — Ceterum Βιοι heic sunt *personae* vel *Professiones*, instituta et δογματα Philosophorum, vti recte GESNERVS, qui ita: „retinet βιος solemnem et frequentissimum intellectum, quo vitae rationem professionemque adeo notat, nisi quod Satyrica prosopopoeia heic vitae et instituta ponuntur pro personis.„

σκευαζε τον τοπον τοις αφικνȣμενοις· (2) συ δε ϛησον ἑξης παραγαγων τȣς βιȣς, αλλα κοσμησας προτερον, (3) ὡς ευπροσωποι φανȣνται, και ὁτι πλειϛȣς επαξονται. συ δε, ω Ἑρμη, κηρυττε, και συγκαλει αγαθη τυχη τȣς ωνητας ηδη παρειναι προς το πωλητηριον. αποκηρυξομεν (4) δε βιȣς φιλοσοφȣς παντος ειδȣς και προαιρεσεων ποικιλων· ει δε τις ȣκ εχει τοπαραυτικα τ᾽αργυριον καταβαλεσθαι, (5) εις νεωτα (6) εκτισει, καταϛησας εγγυητην.

ΕΡΜ. Πολλοι συνιασιν· ὡϛε χρη μη διατριβειν, μηδε κατεχειν αυτȣς.

ΖΕΥΣ. Πωλωμεν ȣν!

ΕΡΜ. Τινα θελεις πρωτον παραγαγωμεν;

ΖΕΥΣ. Τȣτονι τον κομητην, τον Ιονικον, επει και σεμνος τις ειναι φαινεται.

ΕΡΜ. Ὁυτος ὁ Πυθαγορικος, καταβηθι, και παρεχε σαυτον αναθεωρειν τοις συνειλεγμενοις.

ΖΕΥΣ. Κηρυττε δη.

ΕΡΜ.

(2) τ. αφικν.) αγοραϛαις.

(3) κοσμ. προτ.) Veteres feruos vendendos prius lauarunt ornaruntque, vt quam fpeciofiffimi apparerent, pluresque emtores inuenirent.

(4) αποκηρυξωμεν) αποκηρ. eft δια κηρυγματος πωλειν. Thom. Mag.

(5) καταβαλεσθαι) i. e. εκτινειν, Αττικως, vt Bofius vult.

(6) εις νεωτα) vid. Cel. FISCHERVS, Ind. ad Theophr. Charact. Νεωτα, Αττικως, το μελλον ετος, Ελληνικως. Moeris.

ΕΡΜ. Τον αριστον βιον πωλω, τον σεμνοτατον, τις ωνησεται, τις ὑπερ ανθρωπον ειναι βουλεται; τις ειδεναι την του παντος ἁρμονιαν, και αναβιωναι παλιν; (7)

ΑΓΟ. Το μεν ειδος ουκ αγεννης· τι δε μαλιστα οιδεν;

ΕΡΜ. Αριθμητικην, αστρονομιαν, τερατειαν, (8) γεωμετριαν, μουσικην, γοητειαν. μαντιν ακρον βλεπεις.

ΑΓΟ. Εξεστιν αυτον ανακρινειν;

ΕΡΜ. Ανακρινε αγαθῃ τυχῃ.

ΑΓΟ. Ποδαπος ει συ;

ΠΥΘ. Σαμιος.

ΑΓΟ. Που δε επαιδευθης;

ΠΥΘ. Εν Αιγυπτῳ, παρα τοις εκει σοφοις.

ΑΓΟ. Φερε δη, ην πριωμαι σε, τι με διδαξεις;

ΠΥΘ. Διδαξω μεν ουδεν, αναμνησω δε.

ΑΓΟ. Πως αναμνησεις;

ΑΓΟ.

(7) αναβ. π.) ita scilicet, vt anima, relicto *hoc* corpore, in aliud transeat. referenda huc et το, αναμνησω δε, et νυν μεν ουτος, παλαι δε — — quae sequuntur. — Multa faciunt ad illustrandum hunc tironibus locum, quae Pythagoras ipse canit apud OVID. Metam. XV. v. 60-175.

(8) τερατειαν) El. Lubinus affert expl. Suidae, ψευδολογιαν, παραδοξολογιαν, quam vero, vt falsam heic, ipse reiicit. et est quidem falsa. Pythagoraei enim ipsi τερατα se facere posse sibi persuasi erant. Vides ex iis, quae Philostratus tum de Apollonio suo, tum de Indis, qui vtrique Pythagorae erant addicti, passim retulit.

ΠΥΘ. Καθαραν προτερον την ψυχην εργασαμενος, και τον επ' αυτη ῥυπον εκκλυσας.

ΑΓΟ. Και δη νομισον ηδη κεκαθαρθαι με, τις ὁ τροπος της αναμνησεως;

ΠΥΘ. Το μεν πρωτον, ἡσυχιη μακρη, και αφωνιη και πεντε ὁλων ετεων λαλεειν μηδεν.

ΑΓΟ. Ὡρα σοι, ω βελτιϛε, τον Κροισȣ παιδα παιδευειν. εγω γαρ λαλος, ȣκ ανδριας ειναι βȣλομαι. τι δε μετα την σιωπην, ὁμως και την πενταετιαν; (9)

ΠΥΘ. Μȣσȣργιη (10) και γεωμετριη ενασκησεαι.

ΑΓΟ. Χαριεν λεγεις, ει προτερον κιθαρῳδον (11) γενομενον, κᾀτα ειναι σοφον χρη.

ΠΥΘ. Ειτ' επι τȣτεοισιν αριθμεειν. (12)

ΑΓΟ. Οιδα και νυν αριθμειν.

ΠΥΘ. Πως αριθμεεις;

ΑΓΟ. Ἑν, δυο, τρια, τετταρα.

ΠΥΘ. Ὁρας, ἁ συ δοκεεις τετταρα, ταυτα δεκα ειαι

(9) ομως κ. πεντ.) mirum ſit, ni haec (ομ. κ. πενταετιαν) gloſſa ſit.

(10) μȣσȣργιη) olim quippe id, quod Muſicam appellarunt veteres, plus ad formandos mores faciebat, quam hodie! vid. de his quae dixit BRAVNIVS, Anglus, (*Browns Betr. üb. d. Poeſ. u. Mus.*) *Sect.* in primis *Quarta*.

(11) κιθαρῳδος) iniuſtus eſt αγορασης. Innuit Pythagoras antiquam illam, quae ſua aetate florebat, Muſicam. Luciani ſaeculo diuerſam plane faciem induerat, neque tantam amplius vim *poterat* exſerere.

(12) τȣτ. αριθμεειν) Pythagoras, in inſula *Ioniae* vicina natus, Ionice loquitur.

εισι, (13) και τριγωνον εντελες, (14) και ἡμετερον ὁρκιον; (15)

ΑΓΟ. Ου μα τον μεγιστον τοινυν ὁρκον τα τετταρα, ου ποτε θειοτερους λογους ηκουσα, ουδε μαλλον ἱερους.

ΠΥΘ. Μετα δε, ω ξεινε, εισεαι γης τε περι, και ηερος, και ὑδατος, και πυρος, ἡτις αυτεοισιν ἡ φορη· και ὁκοια εοντα μορφην, και ὁκως κινεονται;

ΑΓΟ. Μορφην γαρ εχει το πυρ, η ὑδωρ;

ΠΥΘ. Και μαλα εμφανεα· ου γαρ οια τε αμορφιη και ασχημοσυνη κινεεσθαι· και επι τουτεοισι δε, γνωσεαι τον Θεον αριθμον εοντα, και ἁρμονιην.

ΑΓΟ. Θαυμασια λεγεις.

ΠΥΘ. Προς δε τοισδεσι τοισιν ειρημενοισι, και σεωυτον ἑνα δοκεοντα, και αλλον ὁρεομενον, και αλλον εοντα εισεαι.

ΑΓΟ.

(13) ταυτα δεκα εισι) computata quippe.

(14) και τριγ. εντελες) numeri in figuram geometricam dispositi, sic

*
* *
* * *
* * * *

quare parum abfuit, quin verba proxime praecedentia, vt *ipso* statim *intuitu* pateat hic locus, ita scriberem: ταυτα Δ vel Δ (εκα) εισι.

(15) ημετ. ορκ.) ναι την τετρακτυν, haec erat iurisiurandi formula. — Ceterum caussam vide apud eos, qui de iis, quae Pythagoras de numeris philosophatus est, scripserunt. nobis *heic* longioribus esse non licet. Loca innumera congessit suo more MEVRSIVS, in libello singulari, de Denario Pythagorico.

ΑΓΟ. Τι φῃς; αλλος ειμι, και ουχ ὁυτος, ὡσπερ νυν προς σε διαλεγομαι;

ΠΥΘ. Νυν μεν ὁυτος, παλαι δε εν αλλῳ σωματι και εν αλλῳ ονοματι εφανταζεο· (16) χρονῳ δε αυθις ες αλλο μεταβησεαι.

ΑΓΟ. Τουτο φῃς αθανατον εσεσθαι με, αλλαττομενον ες μορφας πλειονας; αλλα ταδε μεν ἱκανως.— Τα δ' αμφι διαιταν, ὁποιος τις ει;

ΠΥΘ. Ψυχηϊον μεν ουδε ἑν τι σιτεομαι· (17) τα δ' αλλα, πλην κυαμων.

ΑΓΟ. Τινος ἑνεκα μυσαττῃ τους κυαμους;

ΠΥΘ. Ουκ· αλλ' ἱεροι εισι, και θαυμαστη αυτων ἡ φυσις. πρωτον μεν γαρ το παν γονη εισι· και ην αποδυσῃς κυαμον ετι χλωρον εοντα, οψεαι τοισιν ανδρειοισι μοριοισιν (18) εμφερεα την φυην. ἑψηθεντι δε ην επαφῃς την σεληναιην νυξι μεμετρημενῃσιν, αἱμα ποιησεις. το δε μειζον, Αθηναιοισι νομος κυαμοισι τας αρχας ἁιρεεσθαι. (19)

ΑΓΟ. Καλως παντα εφῃς και ἱεροπρεπως· αλλ' απο-

(16) εφανταζεο) το φανταζεσθαι επι το ανατυπουσθαι Schol. Voss.

(17) ψυχη. - σιτεομαι) ει αφικοιτο τις, inquit Philosophia Pythagorica apud *Philostr.* (Vita Apoll. T. Lib. VI. pag. 242) ες ηθη τάμα, τραπεζαν οποση εμψυχων ανηρεισθαι (δει) πασαν.

(18) ανδρ. μοριοισιν) i. e. αιδοιοις.

(19) πρωτον - τ. αρχ. αιρ.) alias, praeter hasce, caussas collegit SCHEFF. de Philos. Ital. pag. 141. ed. Schurzfl.

αποδυθι. και γυμνον γαρ ιδειν σε βελομαι. — Ω Ἡρακλεις, χρυσες αυτῳ ὁ μηρος εσι· θεος, ε βροτος τις ειναι Φαινεται, ὡςε ωνησομαι παντως αυτον. Ποσε τετον αποκηρυττεις;

ΕΡΜ. Δεκα μνων.

ΑΓΟ. Εχω, τοσετε λαβων.

ΖΕΥΣ. Γραφε τε ωνησαμενε τενομα, και ὁθεν εςιν;

ΕΡΜ. Ιταλιωτης, ω Ζευ, δοκει τις ειναι, των αμφι Κροτωνα, και Ταραντα και την ταυτῃ Ἑλλαδα. Καιτοι εκ εἱς, (20) αλλα τριακοσιοι σχεδον εωνηνται κατα κοινον αὐτον.

ΖΕΥΣ. Απαγετωσαν· αλλον παραγαγωμεν.

ΕΡΜ. Βελει τον αυχμωντα εκεινον, τον Ποντικον;(21)

ΖΕΥΣ. Πανυ μεν εν.

ΕΡΜ. Ὁυτος ὁ την πηραν εξηρτημενος, ὁ εξωμιας, (22) ελθε, και περιθι εν κυκλῳ το συνεδριον. Βιον ανδρικον πωλω, βιον αριςον, και γεννικον βιον ελευθερον· τις ωνησεται;

ΑΓΟ.

(20) εκ εἱς) „Quia ſequitur vocalis adſpirata, non opus eſt ad hiatum vitandum τῳ χ. „ ſic ERNEST. ο πανο ad Iliad. α. 114. ſed cur paullo ante εχ ετος; — Emtorem Pythagorae Lucianus adducit ex Graecia Magna, quod ibi ſcilicet maxime florebant eius placita.

(21) τ. ποντ.) Διογενης ο Σινωπευς.

(22) εξωμιας) „Pallio ſolo, tunica nulla, vtebatur Diogenes Cynicus, illudque pallium ita humero dextro ſubiiciebat, vt ipſe humerus exertus ac nudus extaret. „ FABRIC. ad Sext. Empir. pag. 39.

ΑΓΟ. Ὁ κηρυξ πως εφης; πωλεις τον ελευθερον;

ΕΡΜ. Εγωγε.

ΑΓΟ. Ειτα ȣ δεδιας, μη σοι δικασηται ανδραποδισμȣ, η και πρoσκαλεσηται σε ες Αρειον Παγον;

ΕΡΜ. Ουδεν αυτῳ μελει της πρασεως· (23) οιεται γαρ ειναι παντατασιν ελευθερος.

ΑΓΟ. Τι δ' αν τις αυτῳ χρησαιτο, ῥυπωντι, και ȣτω κακοδαιμονως διακειμενῳ; πλην ει μη σκαπανεα γε και (24) ὑδροφορον αυτον αποδεικτεον.

ΕΡΜ. Ου μονον, αλλα και ην θυρωρειν (25) αυτον επιστησῃς, πολυ πιστοτερῳ χρησῃ των κυνων· αμελει, κυων αυτῳ και τȣνομα.

ΑΓΟ. Ποδαπος δε εστι, και τινα την ασκησιν επαγγελλεται;

ΕΡΜ. Αυτον ερȣ. καλλιστον γαρ ȣτω ποιειν.

ΑΓΟ. Δεδια το σκυθρωπον αυτȣ, και κατηφες, μη με ὑλακτησῃ προσελθοντα, η και, νη Δια, δακῃ γε· ȣχ ὁρας, ὡς διηρκε το ξυλον, και συνεσπακε τας οφρυς, και απειλητικον τι και χολωδες ὑποβλεπει;

ΕΡΜ.

(23) ȣδ. αυτ. μελ. τ. πρ.) vti olim, cum captus a praedonibus in Creta venderetur,

(24) σκαπ. γε και υδρ.) ex Thoma Mag. σκ. γ. η υδρ. profert MOSES SOL. dicitque h. lectionem longe meliorem: sed poterat vterque esse Diogenes, et fossor et aquarius.

(25) θυρωρειν αυ. επις.) dubito an dicatur, θυρωρειν τινα επιστηναι. quare recipienda forte est lectio trium Codicum, θυρωρον.

ΕΡΜ. Μη δεδιθι· τιθασσος (26) γαρ εςι.

ΑΓΟ. Το πρωτον, ω βελτιςε, ποδαπος ει;

ΔΙΟΓ. Παντοδαπος.

ΑΓΟ. Πως λεγεις.

ΔΙΟ. Τȣ κοσμȣ πολιτην ὁρᾳς.

ΑΓΟ. Ζηλεις δε τινα;

ΔΙΟ. Τον Ἡρακλεα.

ΑΓΟ. Τι ȣν ȣχι και λεοντην αμπεχῃ; το μεν γαρ ξυλον (27) εοικας αυτῳ.

ΔΙΟ. Τȣτι μοι λεοντη το τριβωνιον. ςρατευομαι δε, ὡσπερ εκεινος, επι τας ἡδονας, ȣ κελευςος, (28) αλλ' ἑκȣσιος, εκκαθαραι τον βιον προαιρȣμενος.

ΑΓΟ. Ευγε της προαιρεσεως. — Αλλα τι μαλιςα ειδεναι σε φωμεν; η τινα την τεχνην εχεις;

ΔΙΟ. Ελευθερωτης ειμι των ανθρωπων και ιατρος των παθων. το δ' ὁλον, αληθειας και παῤῥησιας προφητης (29) ειναι βȣλομαι.

ΑΓΟ. Αγε, ω Προφητα, ην δε πριωμαι σε, τινα με τον τροπον διασκησεις;

ΔΙΟ. Πρωτον μεν παραλαβων σε, και αποδυσας την τρυφην, και αποριᾳ συγκατακλεισας, τριβωνιον περι-

(26) τιθασσος) πρᾳος και ἡμερός. Schol. Voss.

(27) ξυλον) tale ῥοπαλον tenet figura, quam FABRIC. l. supr. laud. dedit ex F. Vrsino.

(28) ȣ κελευςος) vti Hercules ab Eurystheo iussus.

(29) προφητης) ioci nescio quid suspicatus heic est MOS. SOL. προφητης αληθειας quid aliud est, quam is, qui veritatem *profitetur*?

περιβαλω. μετα δε, πονειν και καμνειν καταναγκασω, χαμαι καθευδοντα, και ὑδωρ πινοντα, και ὡν ετυχε πιμπλαμενον. τα δε χρηματα, ην εχῃς, εμοι πειθομενος, ες την θαλατταν φερων εμβαλεις· γαμε δ' αμελησεις, και πατριδος, και παντα σοι ληρος εςαι· και την πατρωαν οικιαν απολιπων, η ταφον (30) οικησεις, η πυργιον ερημον, (31) η και πιθον. ἡ πηρα δε σοι θερμων εςαι μεςη και οπισθογραφων (32) βιβλιων. και ὁυτως εχων, ευδαιμονεςερος ειναι φησεις τε μεγαλε βασιλεως. ην μαςιγοι δε τις, η ςρεβλοι, τετων εδεν ανιαρον ἡγησῃ.

ΑΓΟ. Πως τετο φης, μη αλγειν μαςιγεμενον; ε γαρ χελωνης η καραβε το δερμα περιβεβλημαι.

ΔΙΟ. Το Ευριπιδειον εκεινο ζηλωσεις, μικρον εναλλαξας.

ΑΓΟ. Το ποιον;

ΔΙΟ. Ἡ φρην σοι αλγησει, ἡ δε γλωσσα αναλγητος. (33) Ἁ δε μαλιςα δει προσειναι, ταυτα εςιν· ιταμον (34) χρη ειναι, και θρασυν, και λοιδορεισθαι πα-

(30) ταφον) veluti Matrona Ephefia.
(31) πυργ. ερη.) veluti Timon.
(32) οπισθογραφων) „Voluminibus enim ditiores vtebantur, quorum interior tantum pagina fcripta, exterior pura erat.„ Mofes Sol.
(33) η φρην-αναλγητος) parodia Euripidei illius, in Hippol. v. 612. Η γλωσσ' ομωμοχ', η δε φρην ανωμοτος.
(34) ιταμον) αναιδη και αναισχυντον. Schol. V.

πασιν ἑξης, και βασιλευσι και ιδιωταις. ὁυτω αποβλεψονται σε, και ανδρειον ὑποληψονται· βαρβαρος δε ἡ φωνη (35) εϛαι, και απηχες (36) το φθεγμα και ατεχνως ὁμοιον κυνι· και προσωπον δε εντεταμενον και βαδισμα, τοιουτῳ προσωπῳ πρεπον· και ὁλως, θηριωδη τα παντα και αγρια. αιδως δε και επιεικεια και μετριοτης απεϛω, και το ερυθριαν αποξυσον (37) του προσωπου παντελως. διωκε δε τα πολυανθρωποτατα των χωριων, (38) και εν αυτοις τουτοις μονος και ακοινωνητος ειναι θελε, μη φιλον, μη ξενον προσιεμενος. καταλυσις γαρ τα τοιαυτα της αρχης. εν οψει δε παντων, ἁ μηδ' ιδια ποιησειεν αν τις, θαῤῥων ποιει, (39) και των αφροδισιων ἁιρου τα γελοιοτατα, και τελος, ην σοι δοκῃ, πολυποδα ωμον, η σηπιαν

(35) *βαρβ. η φ. εϛαι*) Stoicos, qui omnem fermonis cultum abiecerint, heic pungi, ait Mofes S.

(36) *απηχες*) *ξενον του παρα παντων ηχου.* Schol.

(37) *αποξυσον*) *abrade* penitus.— Leguntalii *αποξεσον*, *abfterge*, quod GESNERO, fi cum *αποξυσον* comparetur, parum vehemens videtur. Sed forte *αποξυσον* eft *nimis* vehemens.

(38) *διω. τα πολ. τ. χωρ.*) paullo ante dixerat, *ταφον οικησεις, η πυργιον ερημον* - nonne haec fibi contradicunt? — funt ita, puto, expedienda. proprie quidem habitabis, dormies in fepulcris, in turribus defertis. fi vero femel iterumque prodire tibi animus fit in publicum, tum non nifi loca celebratiffima inuife.

(39) *θαῤῥ. ποιει*) Cratetis exemplo, cui fimile eft Pancratis illius, apud ALCIPHR. Epift. III. 55.

Q 2

πιαν φαγων, αποθανε. (40) — Ταυτην σοι την ευδαιμονιαν προξενεμεν.

ΑΓΟ. Απαγε. μιαρα γαρ, και εκ ανθρωπινα λεγεις.

ΔΙΟ. Αλλα ῥᾳςα γε, ω ὅτος, και πασιν ευχερη μετελθειν. ε γαρ σοι δεησει παιδειας και λογων και ληρων, αλλ' επιτομος ἀυτη σοι προς δοξαν ἡ ὁδος. και ιδιωτης (41) γαρ αν ης, ητοι σκυτοδεψης, η ταριχοπωλης, η τεκτων, η τραπεζιτης, εδεν σε κωλυσει θαυμασιον ειναι, ην μονον αναιδεια και το θρασος παρη, και λοιδορεισθαι καλως εκμαθης.

ΑΓΟ. Προς ταυτα μεν ε δεομαι σε· ναυτης δ'αν ισως η κηπωρος εν καιρῳ γενοιο· και ταυτα, ην εθελη σε αποδοσθαι ὅτοσι το μεγισον δυ' οβολων.

ΕΡΜ. Εχε λαβων· και γαρ ασμενοι απαλλαξομεθα, ενοχλεντος αυτε και βοωντος και ἁπαντας ἁπαξαπλως ὑβριζοντος και αγορευοντος κακως.

ΖΕΥΣ. Αλλον καλει τον Κυρηναιον, τον εν τη πορφυριδι, τον εςεφανωμενον.

ΕΡΜ. Αγε δη, προσεχε πας. πολυτελες το χρημα και πλεσιων δεομενον. βιος ὅτος ἡδυς, βιος τρισμακαριςος· τις επιθυμει τρυφης; τις ωνειται τον ἁβροτατον;

ΑΓΟ. Ελθε συ, και λεγε, ἁπερ ειδως τυγχανεις. ωνησομαι γαρ σε, ην ωφελιμος ης.

ΕΡΜ.

(40) αποθ.) sua morte praeceptum hoc confirmauit Diogenes.

(41) ιδιωτης) si vel nihil didiceris.

ΕΡΜ. Μη ενοχλει αυτον, ω βελτιϛε, μηδ' ανακρινε. μεθυει γαρ, ώϛε ȣκ αν αποκριναιτο σοι, την γλωτταν, ὡς ὁρας, διολισθαινων.

ΑΓΟ. Και τις αν ευ φρονων πριαιτο διεφθαρμενον ἑτω και ακολαϛον ανδραποδον; ὁσων δε και αποζει μυρων! ὡς δε και σφαλερον βαδιζει, και παραφερει! αλλα κἀν συ, ω Ἑρμη, λεγε, ὁποσα προσεϛιν αυτῳ, και ἁ μετιων τυγχανει;

ΕΡΜ. Το μεν ὁλον συμβιωναι δεξιος, και συμπιειν ἱκανος και κωμασαι μετα αυλητριδος επιτηδειος ερωντι και ασωτῳ δεσποτη· τἀλλα δε πεμματων επιϛημων, και οψοποιος εμπειροτατος, και ὁλως σοφιϛης ἡδυπαθειας. επαιδευθη μεν ȣν Αθηνησιν, εδȣλευε δε και περι Σικελιαν τοις τυραννοις, (42) και σφοδρα ηυδοκιμει παρ' αυτοις. το δε κεφαλαιον της προαιρεσεως, ἁπαντων καταφρονειν, ἁπασι χρησθαι, πανταχοθεν ερανιζεσθαι την ἡδονην. (43)

ΑΓΟ. Ὡρα σοι αλλον περιβλεπειν των πλȣσιων τȣτων και πολυχρηματων· εγω δε ȣκ επιτηδειος ἱλαρον ωνεισθαι βιον.

ΕΡΜ. Απρατος εοικεν, ω Ζευ, ȣτος ἡμιν μενειν.

ΖΕΥΣ. Μεταϛησον, αλλον παραγαγε, μαλλον δε

 τω

(42) εδȣλευε - τυραννοις) longe alium, et saniorem longe hunc philosophum sistit WIELANDIVS, in immortali illo opere, quod AGATHON inscribitur, P. III. S. 169. Lucianus heic cum *talem* pinxit, vt ridere possit.

(43) ερανιζεσθαι την ἡδ.) συλλεγειν και συναθροιζειν. Schol. Voss.

τω δυο τȣτω, τον γελωντα τον Αβδηροθεν, και τον κλαιοντα τον εξ Εφεσȣ. άμα γαρ αυτω πεπρασθαι βȣλομαι.

ΕΡΜ. Καταβητον ες το μεσον. τω αριςω βιω πωλω, τω σοφωτατω παντων αποκηρυττομαι.

ΑΓΟ. Ω Ζευ, της εναντιοτητος! ὁ μεν ȣ διαλειπει γελων, ὁ δε τινα εοικε πενθειν· δακρυει γαρ τοπαραπαν. Τι ταυτ᾽, ω ȣτος, τι γελας;

ΔΗΜ. Ερωτας; ότι μοι γελοια παντα δοκεει τα πραγματα ύμεων, και αυτοι ύμεες.

ΑΓΟ. Πως λεγεις; καταγελας ἡμων άπαντων, και παρ᾽ ȣδεν τιθεσαι τα ἡμετερα πραγματα;

ΔΗΜ. Ὧδε εχει· σπȣδαιον γαρ εν αυτεοισιν ȣδεν· κενα δε τα παντα, και ατομων φορη και απειρη.(44)

ΑΓΟ. Ουμενȣν, αλλα συ κενος ὡς αληθως και απειρος. ω της ὑβρεως, ȣ᾽ παυση γελων; — Συ δε τι κλαιεις, ω βελτιςε; πολυ γαρ οιμαι καλλιον, σοι προσλαλειν.

ΗΡΑ. Ἡγεομαι γαρ, ω ξενε, τα ανθρωπινα πρηγματα οϊζυρα και δακρυωδεα και ȣδεν αυτεων ὁ, τι μη επικηριον· (45) τω δη οικτειρω τε σφεας και τα μεν παρεοντα ȣ δοκεω μεγαλα, τα δε ύςερω χρονω εσομενα παμπαν ανιηρα. λεγω δε τας εκπυρωσιας(46) και

(44) απειρη) Emtor intellexit de imperitia. Falſo. „ *Immenſum* enim Democrito notat. Cic. I. de Fin. Infinitio ipſa, quam απειριαν vocant, tota a Democrito eſt.„ Moſes S.

(45) επικηριον) επιθανατιον. Schol.

(46) εκπυρ.) conflagrationem mundi, vel exuſtiones terrae, vt Cic. dicit in Somn. Scip.

και την τȣ ὁλȣ συμφερην. ταυτ᾽ οδυρομαι, και ὁτι εμπεδον ȣδεν, αλλακως (47) εις κυκεωνα παντα συνειλεονται, (48) και εςι τώυτο τερψις, ατερψιη· γνώσις, αγνωσιη· μεγα, μικρον, ανω κατω περιχορευοντα και αμειβομενα εν τη τȣ αιωνος παιδιη.

ΑΓΟ. Τι γαρ ὁ αιων εςι;

ΗΡΑ. Παις παιζων, πεσσευων, διαφερομενος. (49)

ΑΓΟ. Τι δαι οἱ ανθρωποι;

ΗΡΑ. Θεοι θνητοι.

ΑΓΟ. Τι δαι οἱ Θεοι;

ΗΡΑ. Ανθρωποι αθανατοι. (50)

ΑΓΟ. Αινιγματα λεγεις, ω ȣτος, η γριφȣς (51) συντιθεις. ατεχνως γαρ, ὡσπερ ὁ Λοξιας, (52) ȣδεν αποσαφεις.

ΗΡΑ. Ουδεν γαρ μοι μελει ὑμεων.

ΑΓΟ. Τοιγαρȣν ȣδε ωνησεται σε ευ φρονων.

ΗΡΑ. Εγω δε κελομαι πασιν ἡβηδον (53) οιμωζειν, τοισιν ωνεομενοισι, και τοισιν ȣκ ωνεομενοισι.

ΑΓΟ.

(47) αλλακως) αντι τȣ, πως. εςι δε τȣτο Ιωνικον. Schol.

(48) εις κυκ. π. συν.) i. e. quod ita mifceantur atque confundantur omnia, veluti medicamentum ex pluribus herbis compofitum.

(49) διαφερομενος) Hefych. μαχομενος. Suidas, εριζων, φιλονεικων.

(50) ανθρ. αθ.) expreffit heic Lucianus characterem Heracliti quam accuratiffime, quippe quem antiquitas hinc inde obfcuritatis in dicendo fcribendoque accufauit.

(51) γριφȣς) λογȣς συμπλεκομενȣς. Schol.

(52) Λοξιας) Απολλων.

(53) πασ. ἡβηδον) omnes omnino, iuuenes aeque ac fenes. fic Nofter et in Timone, cap. 37.

ΑΓΟ. Τουτι το κακον ου πορρω μελαγχολιας εστιν· ουδ' ἑτερον εγωγε αυτων ωνησομαι.

ΕΡΜ. Απρατοι και οὑτοι μενουσιν. — —

ΖΕΥΣ. Αλλον αποκηρυττε.

ΕΡΜ. Βουλει τον Αθηναιον εκεινον, τὸν στωμυλον; (54)

ΖΕΥΣ. Πανυ μεν ουν.

ΕΡΜ. Δευρ' ελθε συ. Βιον αγαθον και συνετον αποκηρυττομεν. τις ωνειται τον ἱερωτατον; (55)

ΑΓΟ. Ειπε μοι, τι μαλιστα ειδως τυγχανεις;

ΣΩΚ. Παιδεραστης ειμι και σοφος τα ερωτικα.

ΑΓΟ. Πως ουν ἐγω πριωμαι σε; παιδαγωγου γαρ εδεομην τῳ παιδι καλῳ οντι μοι.

ΣΩΚ. Τις δ' αν επιτηδειοτερος εμου γενοιτο συνειναι καλῳ; και γαρ ου των σωματων εραστης ειμι, (56) την ψυχην δε ἡγουμαι καλην. αμελει, κἀν ὑπο ταὐτον ἱματιον μοι κατακεωνται, ακουσῃ αυτων λεγοντων μηδεν ὑπ' εμου δεινον παθειν.

ΑΓΟ. Απιστα λεγεις, το παιδεραστην οντα μη περαιτερω

της

(54) στωμυλον) Φλυαρον, πιθανολογον, η ἐφορον (recte, εφεδρον, Tib. HEMST. correxit) των λογων, απατεωνα. Schol.

(55) Socratem.

(56) ου των σωμ. ερ. ειμι) num Socrates παιδεραστης fuerit? haec lis nouiter mota et in Hollandia maxime agitata est et excussa. Debellatum iam esse speramus, neminemque olim fore, qui virtuti Socratis dicam scribat. HÖFSTEDIOS enim denuo extituros esse, vix credibile est. — Breuem huius certaminis narrationem videsis apud EBERHARDUM (*Neue Apologie des Socrates*) pag. 5-16.

της ψυχης τι πολυπραγμονειν. και ταυτα, ὑπ᾽ εξȣσιας, εν τῳ αυτῳ ἱματιῳ κατακειμενον.

ΣΩΚ. Και μην ὀμνυω γε σοι τον κυνα και τον πλατανον, (57) ȣτω ταυτ᾽ εχειν.

ΑΓΟ. Ἡρακλεις της ατοπιας των Θεων!

ΣΩΚ. Τι συ λεγεις; ȣ δοκει σοι ὁ κυων ειναι Θεος; ȣχ ὁρᾳς τον Ανȣβιν εν Αιγυπτῳ ὁσος, και τον εν ȣρανῳ Σειριον και τον παρα τοις κατω Κερβερον;

ΑΓΟ. Ευ λεγεις, εγω δε διημαρτανον. αλλα τινα βιοις τον τροπον;

ΣΩΚ. Οικω μεν εμαυτῳ τινα πολιν αναπλασας, χρωμαι δε πολιτειᾳ ξενῃ, και νομȣς νομιζω τȣς εμȣς. (58)

ΑΓΟ. Ἑν εβȣλομην ακȣσαι των δογματων.

ΣΩΚ. Ακȣε δη το μεγιστον, ὁ περι των γυναικων μοι δοκει. δοκει μηδεμιαν αυτων μηδενος ειναι μονȣ, παντι δε μετειναι τῳ βȣλομενῳ τȣ γαμȣ.

ΑΓΟ.

(57) τον κυνα κ. τ. πλατ.) sic solebat iurare et νη τον αλεκτρυονα, νη τον χηνα, etc. ωμνυ ταυτα, ȣχ ὡς Θεȣς, αλλ᾽ ινα μη Θεȣς ωμνυ: (vt Apoll. apud Philostr. ait Lib. VI. p. 257.) Nefas enim putabat Θεȣς επι πασιν ονομαζειν. quem locum ex Porphyrio, de Abst. III. §. 16. apte ad Philostr. protulit OLEARIUS. — Quare falsus est Lucianus in iis, quae sequuntur: ȣ δοκει σοι ο κυων ειναι Θεος;

(58) οικω μεν - τ. εμȣς) „Quae ab hoc inde loco dicuntur de Socrate, ea aeque vel potius etiam in Platonem dicta videri possunt, de republica, de communione mulierum, de fortium praemiis, de ideis.„ GESN. ad h. l.

ΑΓΟ. Τι τȣτο φῃς; ανῃρησθαι τȣς περι μοιχειας νομȣς;

ΣΩΚ. Νη Δια, και ἁπλως γε πασαν την περι τα τοιαυτα μικρολογιαν.

ΑΓΟ. Τι δε περι των εν ὡρᾳ παιδων σοι δοκει;

ΣΩΚ. Και ἐτοι εσονται τοις αριστοις αθλον φιλησαι, λαμπρον τι και νεανικον εργασαμενοις.

ΑΓΟ. Βαβαι της φιλοδωριας! — Της δε σοφιας τι σοι το κεφαλαιον;

ΣΩΚ. Ἁι ιδεαι, και τα των οντων παραδειγματα. ὁποσα γαρ δη ὁρας, την γην τἀπι γης, τον ȣρανον, την θαλατταν, ἁπαντων τȣτων εικονες αφανεις ἑστασι, εξω των ὁλων.

ΑΓΟ. Πȣ δε ἑστασιν;

ΣΟΚ. Ουδαμȣ. ει γαρ πȣ ειεν, ȣκ αν ειεν.

ΑΓΟ. Ουχ ὁρω ταυτ', ἁπερ λεγεις τα παραδειγματα.

ΣΩΚ. Εικοτως. Τυφλος γαρ ει της ψυχης τον οφθαλμον. εγω δε παντων ὁρω εικονας, και σε αφανη κἀμε αλλον, και ὁλως διπλα παντα.

ΑΓΟ. Τοι γαρ ȣν ωνητεος ει, σοφος και οξυδερκης τις ων. — Φερ' ιδω τι και πραξεις με ὑπερ αυτȣ σου;

ΕΡΜ. Δος δυο ταλαντα.

ΑΓΟ. Ωνησαμην ὁσȣ φῃς· τἀργυριον μεν τοι ες αυθις καταβαλω.

ΕΡΜ. Τι ȣν σοι ȣνομα;

ΑΓΟ. Διων Συρακȣσιος. (59) ΕΡΜ.

(59) Διων Συρ.) Eo, quod Dio Syracusanus, *Platonis*

ΕΡΜ. Αγε λαβων αγαθῃ τυχῃ. -- Τον Επικȣρειον σε ηδη καλω· τις ωνειται τȣτον; εςι μεν τȣ γελωντος εκεινȣ μαθητης και τȣ μεθυοντος, (60) ȣ̃ς μικρȣ προσθεν απεκηρυττομεν· ἑν δε πλεον οιδεν αυτων, παροσον ασεβεςερος τυγχανει, τα δε αλλα ἡδυς και λιχνειᾳ φιλος.

ΑΓΟ. Τις ἡ τιμη;

ΕΡΜ. Δυο μναι.

ΑΓΟ. Λαμβανε. το δεινα δε ὁπως ιδω, (61) τισι χαιρει των εδεσματων;

ΕΡΜ. Τα γλυκεα σιτειται και μελιτωδη και μαλιςα τας ισχαδας.

ΑΓΟ. Χαλεπον μεν ȣδεν. ωνησομαι γαρ αυτῳ παλαθας των Καρικων. (62)

ΖΕΥΣ. Αλλον καλει, τον εν χρῳ κȣριαν (63) εκεινον, τον σκυθρωπον, τον απο της Στοας.

ΕΡΜ.

nis studiosissimus, Socratem *hunc* Luciani emit, confirmantur ea, quae dixit Gesnerus.

(60) τ. γελ. κ. τ. μεθυ.) Democriti et Aristippi.

(61) το δεινα οπως ιδω) quid το δεινα δε sibi velit? ait Gesnerus, se nondum plane assequi, et ponendum forte esse τοδ' ειπε, οπως ειδω, hoc dic, vt sciam. Το δεινα, loco non videtur mouendum esse, legendum potius, τον δεινα οπ. ιδω, (ειπε μοι) τισι χαιρει των εδεσματων. „ Dixisti iam mihi quaedam de eo, esse gulae deditum improbumque. vt tamen penitius *hominem hunc* noscam (*damit ich meinen Mann recht kennen lerne*) dic mihi et hoc, quibus gaudeat cibis?„

(62) Καρικων) abundabat ficubus maxime Caria.

(63) εν χρῳ κȣρ.) quaedam de hac locutione, εν χρῳ κειρειν, habet Vigerus de Idiot. L. Gr.

ΕΡΜ. Ευ λεγεις· εοικασι δ' ȣν πολυ τι πληθος αυτον περιμενειν των περι την αγοραν απηντηκοτων. (64) Αυτην την αρετην πωλω, τον βιον τον τελειοτατον. τις παντα μονος ειδεναι θελει;

ΑΓΟ. Πως τȣτο φῃς;

ΕΡΜ. Οτι μονος ȣτος σοφος, μονος καλος, μονος δικαιος, ανδρειος, βασιλευς, ρητωρ, πλȣσιος, νομοθετης, και τ' αλλα, όποσα εςιν. (65)

ΑΓΟ. Ουκȣν, ὠ 'γαθε, και μαγειρος μονος, και νη Δια γε σκυτοδεψης και τεκτων και τα τοιαυτα.

ΕΡΜ. Εοικεν.

ΑΓΟ.

(64) πολυ τι πληθος -) confluit ad Stoicum emtorum multitudo, quod iis, queis haec fcripfit Nofter, temporibus, i. e. vt Mof. Sol. obferuat, imperante Marco Aurelio, vigebat maxime Philofophia Stoicorum.

(65) μονος ȣτος σοφος - εςιν) fic fere Horatius Epift. L. I. 106. 107.

— Sapiens vno minor eft Ioue, diues,
Liber, honoratus, pulcher, Rex denique Regum.

Quod et Noftratium vnus expreffit, RIEDELIVS, Vir multi ingenii.

Daſs nur der Weiſe groſs, zufrieden, reich und frei,
Auch wenn er will, ein Sultan oder Dey,
Brod ihm Ambroſia und Waſſer Capwein ſey,
Iſt — ein göldner Spruch, den aus Zenonſchen Hallen,
Nach ihrem Mittagsmahl, die weiſen Knaben lallen. — —
Sie dencken weiſer ſich, als alle Weiſen ſind,
Und folglich auch — denn Fürſt wär' noch zu wenig —
Ganz ſchnell zum Kaiſer oder Koenig.

Conferre etiam non poenitebit, quae *Cleanthes* canit MVSAR. S. 71. feq.

ΑΓΟ. Ελθε, ὠ γαθε, και λεγε προς τον ωνητην εμε, ποιος τις ει, και πρωτον, ει ουκ αχθη πιπρασκομενος και δουλος ων;

ΧΡΥΣ. Ουδαμως. ου γαρ εφ' ἡμιν ταυτα εστιν (66) ὁσα δε ουκ εφ' ἡμιν, αδιαφορα ειναι συμβεβηκεν.

ΑΓΟ. Ου μανθανω, ἡ λεγεις.

ΧΡΥΣ. Τι φῃς; ου μανθανεις, ὁτι των τοιουτων τα μεν εστι προηγμενα, τα δ' εμπαλιν αποπροηγμενα; (67)

ΑΓΟ. Ουδε νυν μανθανω.

ΧΡΥΣ. Εικοτως· ου γαρ ει συνηθεις τοις ἡμετεροις ονομασιν, ουδε καταληπτικην φαντασιαν εχεις· (68) ὁ δε σπουδαιος, ὁ την λογικην θεωριαν εκμαθων, ου μονον ταυτ' οιδεν, αλλα και συμβαμα, και παρασυμβαμα, (69) ὁποιων και ὁποσων αλληλων διαφερει.

ΑΓΟ. Προς της φιλοσοφιας, μη φθονησῃς κἀν τουτο

(66) ου - εφ' ἡμιν τ. εστ.) in poteſtate noſtra haec non ſunt. Sic h. φρασιν adhibuit in primis Epictetus, ſtatim ab init. „ Εφ' ἡμιν μεν, ὑποληψις, ὁρμη (f. οργη) ορεξις, εκκλισις, και ενι λογω, οσα ἡμετερα εργα· ουκ εφ' ἡμιν δε, το σωμα, η κτησις, δοξαι, αρχαι, και ενι λογω, οσα ουχ ἡμετερα εργα.

(67) προηγμ. - αποπρ.) vid. Cic. de Fin. III. 16.

(68) καταλ. φαντ. εχ.) nihil *percipis.*

(69) συμβ. και παρασ.) „Lucianus ad verbum συμβαμα vocat *accidens* et παρασυμβαμα *nouum accidens*, quod ſuperuenit illi veteri et priori; idque ridiculo exemplo declarat.„ Geſn.

τουτο ειπειν ὁ, τι συμβανα και τι παρασυμβαμα. και γαρ ουκ οιδ' ὁπως επληγην ὑπο του ῥυθμου των ονοματων.

ΧΡΥΣ. Αλλ' ουδεις φθονος. ην γαρ τις, χωλος ων, αυτω εκεινω τω χωλω ποδι προσπταισας λιθω, τραυμα εξ αφανους λαβη, ὁ τοιουτος ειχε μεν δη που συμβαμα την χωλειαν, το τραυμα δε, παρασυμβανα προσελαβεν.

ΑΓΟ. Ω της αγχινοιας! τι δ' αλλο μαλιστα φης ειδεναι;

ΧΡΥΣ. Των λογων πλεκτανας, αἱς συμποδιζω τους προσομιλουντας, και αποφραττω, και σιωπαν ποιω, φιμον (70) ατεχνως αυτοις περιτιθεις. ονομα δε τη δυναμει ταυτη ὁ αοιδιμος συλλογισμος.

ΑΓΟ. Ηρακλεις! αμαχον τινα και βιαιον λεγεις.

ΧΡΥΣ. Σκοπει γουν. εστι σοι παιδιον;

ΑΓΟ. Τι μην;

ΧΡΥΣ. Τουτο ην πως κροκοδειλος ἁρπαση, πλησιον ποταμου πλαζομενον ευρων, κἀτα σοι αποδωσειν ὑπισχνειται αυτο, ην ειπεις τἀληθες ὁ, τι δεδοκται περι της αποδοσεως του βρεφους, τι φησεις αυτον εγνωκεναι; (71)

ΑΓΟ. Δυσαποκριτον ερωτας. απορω γαρ, ὁποτερον ειπων απολαβοιμι. αλλα συ, προς Διος, αποκριναμε-

(70) Φιμον) τον δεσμον και χαλινον. Schol.

(71) ην πως κροκ.) celebrem illum κροκοδειλιτην profert.

ναμενος ανασωσαι μοι το παιδιον, μη και φθαση αυτο καταπιων.

ΧΡΥΣ. Θαῤῥει. και αλλα γαρ σε διδαξομαι θαυμασιωτερα.

ΑΓΟ. Τα ποια;

ΧΡΥΣ. Τον θεριζοντα, και τον κυριευοντα, και επι πασι την Ηλεκτραν και τον εγκεκαλυμμενον.(72)

ΑΓΟ. Τινα τυτον τον εγκεκαλυμμενον, η τινα την Ηλεκτραν λεγεις;

ΧΡΥΣ. Ηλεκτραν μεν εκεινην, την πανυ, την Αγαμεμνονος, ἡ τα αυτα οιδε τε ἁμα, και υκ οιδε· παρεςωτος γαρ αυτη τυ Ορεςυ ετι αγνωτος, οιδε μεν Ορεςην, ὁτι αδελφος αυτης· ὁτι δε ὑτος Ορεςης, αγνοει. τον δ' αυ εγκεκαλυμμενον και πανυ θαυμαςον ακυση λογον· αποκριναι γαρ μοι, τον πατερα οισθα τον σεαυτυ;

ΑΓΟ. Ναι.

ΧΡΥΣ. Τι υν; ην σοι παραςησας τινα εγκεκαλυμμενον, ερωμαι, τυτον οισθα; τι φησεις;

ΑΓΟ. Δηλαδη αγνοειν.

ΧΡΥΣ. Αλλα μην αυτος ην ὁ πατηρ ὁ σος. ὡςε ει τυτον αγνοεις, δηλος ει τον πατερα τον σον αγνοων.

ΑΓΟ. Ουμενυν· αλλ' αποκαλυψας αυτον εισομαι την αληθειαν. ὁμως δ' υν τι σοι της σοφιας το τελος,

(72) τον θεριζ. - εγκεκαλ.) quales fint hae argumentationum fpecies, non de omnibus liquet. at nec haec nefcire nocet.

λος, η τι πραξεις προς το ακροτατον της αρετης αφικομενος;

ΧΡΥΣ. Περι τα πρωτα κατα φυσιν (73) καταγενησομαι. λεγω δε πλȣτον. ὑγιειαν και τα τοιαυτα· προτερον δε αναγκη πολλα προπονησαι, λεπτογραφοις βιβλιοις παραθησοντα την οψιν, (74) και σχολια συναγειροντα, και σολοικισμων εμπιπλαμενον και ατοπων ῥηματων. και το κεφαλαιον, ȣ θεμις γενεσθαι σοφον, ην μη τρις εφεξης τȣ ἑλλεβορȣ πιης.

ΑΓΟ. Γενναια σȣ ταυτα, και δεινως ανδρικα. το δε γνιφωνα (75) ειναι και τοκογλυφον (και γαρ ταδε ὁρω σοι προσοντα) τι φωμεν ανδρος ηδη πεπωκοτος τον ἑλλεβορον και τελειȣ προς αρετην;

ΧΡΥΣ. Ναι. μονω ȣν το δανειζειν πρεποι αν τω σοφω, επει γαρ ιδιον αυτω συλλογιζεσθαι, το δανειζειν δε και λογιζεσθαι τȣς τοκȣς, πλησιον ειναι δοκει τȣ συλ-

(73) τα πρωτα κ. τ. Φ.) τα πρωτα κατα Φυσιν ſanam mentem, valetudinem proſperam et haec talia comprehendere, ad Cic. Quaeſt. Tuſc. oſtendit Dauiſius, et vti quidem ex h. l. patet, recte.

(74) λεπτ. - οψιν) μυωψ, vult, ſit ſapiens.

(75) γνιφωνα) ſcribendum forte, ΓνιΦ. Eſſe videtur nomen Viri, tum temporis per auaritiam noti, quem heic pungit Lucianus. — Torſerunt ſe Clericus et Guietus, quid γνιΦωνα hunc faciant. non torſiſſent ſe, ſi aliquid ſuboluiſſent. Ita multos, qui cum Luciano viuebant, a Satyro eius flagellis caeſos eſſe, veriſimile eſt. ſed tales hae alluſiones ad hunc illum virum, ea aetate ob hoc vel illud vitium celebrem, cuius libri, qui nobis reſtant, non meminerunt, *nobis* periere.

συλλογιζεσθαι, μονȣ αν ειη τȣ σπȣδαιȣ, καθαπερ εκεινο, και τȣτο. και ȣ μονον γε ἁπλως, ὡσπερ οἱ αλλοι τȣς τοκȣς, αλλα και τȣτων ἑτερȣς τοκȣς λαμβανειν. η γαρ αγνοεις, ὁτι των τοκων οἱ μεν εισι πρωτοι τινες, οἱ δε δευτεροι, καθαπερ αυτων εκεινων απογονοι; ὁρας δε δητα και τον συλλογισμον ὁποια Φησιν· ει τον πρωτον τοκον ληψεται, και τον δευτερον. αλλα μην και τον πρωτον ληψεται, αρα και τον δευτερον.

ΑΓΟ. Ουκȣν και μισθων περι τα αυτα Φωμεν, ȣς συ λαμβανεις επι τη σοΦια παρα των νεων, και δηλον, ὁτι μονος ὁ σπȣδαιος μισθον επι τη αρετη ληψεται;

ΧΡΥΣ. ΜανΘανεις· (76) ȣ γαρ εμαυτȣ ἑινεκα λαμβανω, τȣ δε διδοντος αυτȣ χαριν. επει γαρ εστιν ὁ μεν τις εκχυτης, ὁ δε, περιεκτικος, εμαυτον μεν ασκω ειναι περιεκτικον, τον δε μαθητην, εκχυτην.

ΑΓΟ. Και μην τȣναντιον εΦης, τον νεον μεν ειναι περιεκτικον, σε δε τον μονον πλȣσιον, εκχυτην.

ΧΡΥΣ. Σκωπτεις, ὠ ȣτος. αλλ᾽ ὁρα, μη σε αποτοξευσω αναποδεικτω συλλογισμω.

ΑΓΟ. Και τι δεινον απο τȣ βελȣς;

ΧΡΥΣ. Απορια, και σιωπη, και διαστραΦηναι την διανοιαν. Ὁ δε μεγιστον, ην εθελω, ταχιστα σε αποδειξω λιθον.

ΑΓΟ.

(76) *μανθανεις*) docilis esse incipis.

ΑΓΟ. Πως λιθον; ȣ γαρ Περσευς, (77) ω βελτισε, ειναι μοι δοκεις.

ΧΡΥΣ. Ὡδεπως· ὁ λιθος σωμα εςι;

ΑΓΟ. Ναι.

ΧΡΥΣ. Τι δε το ζωον, ȣ σωμα;

ΑΓΟ. Ναι.

ΧΡΥΣ. Συ δε ζωον;

ΑΓΟ. Εοικα γȣν.

ΧΡΥΣ. Λιθος αρα ει, σωμα ων.

ΑΓΟ. Μηδαμως. αλλ' αναλυσον με προς τȣ Διος, (78) και εξ ὑπαρχης ποιησον ανθρωπον.

ΧΡΥΣ. Ου χαλεπον, αλλ' εμπαλιν ισθι ανθρωπος. ειπε γαρ μοι, παν σωμα ζωον;

ΑΓΟ. Ου.

ΧΡΥΣ. Τι δε λιθος ζωον;

ΑΓΟ. Ου.

ΧΡΥ. Συ δε σωμα ει;

ΑΓΟ. Ναι.

ΧΡΥΣ. Σωμα δε ων ζωον ει.

ΑΓΟ. Ναι.

ΧΡΥΣ. Ουκ αρα λιθος ει ζωον γε ων.

ΑΓΟ. Ευγε εποιησας. ὡς ηδη μȣ τα σκελη, καθαπερ της Νιοβης, απεψυχετο και παγια ην. αλλα ωνησομαι γε σε. Ποσον ὑπερ αυτȣ καταβαλω;

ΕΡΜ.

(77) Περσευς) qui caput Medufae habeas.

(78) αλλ' αναλ. μ. πρ. τ. Διος) ridiculum Emtor metum fimulat, quafi iam lapidem fe fentiat. fic et paullo poft: ως ηδη μȣ τα σκελη-ανεψυχετο!

ΕΡΜ. Μνας δωδεκα.

ΑΓΟ. Λαμβανε.

ΕΡΜ. Μονος δ' αυτον εωνησαι;

ΑΓΟ. Μα Δι', αλλα ουτοι παντες, ους ορας. (79)

ΕΡΜ. Πολλοι γε, και τους ωμους καρτεροι και του θεριζοντος λογου αξιοι. (80)

ΖΕΥΣ. Μη διατριβε· αλλον καλει.

ΕΡΜ. Τον Περιπατητικον σε φημι, τον καλον, τον πλουσιον. Αγε δη, ωνησασθε τον συνετωτατον, τον παντα όλως επισαμενον.

ΑΓΟ. Ποιος δε τις εσι;

ΕΡΜ. Μετριος, επιεικης, άρμοδιος τῳ βιῳ. το δε μεγισον, διπλους.

ΑΓΟ. Πως λεγεις;

ΕΡΜ. Αλλος μεν ὁ εκτοθεν φαινομενος, αλλος δε ὁ εντοσθεν ειναι δοκει, ὡσε, ην πριῃ αυτον, μεμνησο τον μεν εσωτερικον, τον δε εξωτερικον καλειν.

ΑΓΟ. Τι δε γιγνωσκει μαλισα;

ΕΡΜ. Τρια ειναι τα αγαθα, εν ψυχῃ, εν σωματι, εν τοις εκτος.

ΑΓΟ. Ανθρωπινα φρονει. ποσου δε εσιν;

ΕΡΜ. Εικοσι μνων.

ΑΓΟ.

(79) ουτοι παντας, ους ορας) vid. not. 64.

(80) του θεριζοντος λογου αξιοι) ambigue dictum et callide. vel, digni sunt, qui syllogismum illum θεριζοντα addiscant, vel qui opera faciant messoria. — Quis scit, an non το λογου ex margine irrepserit?

ΑΓΟ. Πολυ λεγεις. (81)

ΕΡΜ. Ουκ, ω μακαριε. και γαρ αυτος εχειν τι αργυριον δοκει, ὡςε ουκ αν φθανοις ωνουμενος. (82) Ετι δε ειση αυτικα μαλα παρ᾽ αυτου, ποσον μεν ὁ κωνωψ βιοι τον χρονον, εφ᾽ οσον δε βαθος ἡ θαλασσα ὑπο του ἡλιου καταλαμπεται, και ὁποια τις εςιν ἡ ψυχη των οςρεων; (83)

ΑΓΟ. Ἡρακλεις, της ακριβολογιας!

ΕΡΜ. Τι δε, ει ακουσοις αλλα πολλα τουτων οξυδερκεςερα, γονης δε περι και γενεσεως και της εν ταις μητραις των εμβρυων πλαςικης; και ὡς ανθρωπος μεν γελαςικον, (84) ονος δε ου γελαςικον, ουδε τεκταινομενον ουδε πλωϊζομενον.

ΑΓΟ. Πανσεμνα φης και ονησιφορα τα μαθηματα, ὡςε ωνουμαι αυτον εικοσιν.

ΕΡΜ. Ειεν. — Τις λοιπος ἡμιν καταλελειπται; (85) Ὁ Σκεπτικος ουτος συ, ὁ πυῤῥιας, (86) προσιθι και αποκηρυττου κατα ταχος. ηδη μεν ὑποῤῥεουσιν

(81) πολυ λεγ.) ferri poteſt το πολυ, quanquam alias occurrit πολλου.

(82) ουκ αν φθ. ωνουμ.) αντι του, ταχις᾽ αν ωνηση

(83) ποσον μεν ο κωνωψ-οςρεων) noti ſunt in Nubibus loci, vbi ſimilia fere Socratem quaerere fingit Ariſtophanes.

(84) γελαςικον) ſub. χρημα, ſic et in ſequentibus.

(85) τις λοιπος ημιν καταλελειπται) aut valde fallor aut ingenium, vt ita dicam, dialogi expungere iubet το καταλ. ſufficit omnino το, τις λοιπος ημιν;

(86) Πυῤῥιας) alluſio, Graecis item et Romanis non infrequens, nobis faſtidioſa, ad nomen Pyrrhonis Sceptici.

σιν οἱ πολλοι, και εν ολιγοις ἡ πρασις εςαι. (87) ὁμως δε, τις και τουτον ωνειται;

ΑΓΟ. Εγωγε. αλλ' ου πρωτον ειπε μοι, συ τι επισασαι;

ΦΙΛΟΣ. Ουδεν. (88)

ΑΓΟ. Πως τουτ' εφησθα;

ΦΙΛ. Ὁτι ουδεν ὁλως ειναι μοι δοκει.

ΑΓΟ. Ουδε ἡμεις αρα εσμεν τινες;

ΦΙΛ. Ουδε τουτο οιδα.

ΑΓΟ. Ουδε ὁτι συ τις ων τυγχανοις;

ΦΙΛ. Πολυ μαλλον ετι τουτ' αγνοω.

ΑΓΟ. Ω της απορειας! τι δαι σοι τα ςαθμια ταυτι βουλεται;

ΦΙΛ. Ζυγοςατω εν αυτοις τους λογους, και προς το ισον απευθυνω. και επειδαν ακριβως ὁμοιους τε και ισοβαρεις ιδω, τοτε δη αγνοω τον αληθεςερον.

ΑΓΟ. Των αλλων δε, τι αν πραττοις εμμελως;

ΦΙΛ. Τα παντα, πλην δραπετην μεταδιωκειν.

ΑΓΟ.

(87) ὑποῤῥ. - πρασις εςαι) supra ad Stoicum emendum confluxere quam plurimi. nunc cum Scepticus est vendendus, diffluunt οι πολλοι. Innuit his forte Auctor, Scepticismum sua aetate non ad multorum palatum fuisse.

(88) ΦΙΛΟΣ. Ουδεν) Pyrrhonem, Patrem Scepticismi heic peti, facile patet. Cur vero Noster nomen huius, vti reliquorum, non expresserit, non liquet. Mutandum enim nihil videtur, et neque ΦΙΛΩΝ, qui Menagio, neque ΠΥΡΡΩΝ, qui Mosi Solano placuit, ponendus, cum libri omnes in τω Φιλοσοφος consentiant.

ΑΓΟ. Τι δαι τουτο σοι αδυνατον;

ΦΙΛ. Ὁτι, ὠγαθε, ου καταλαμβανω.

ΑΓΟ. Εικοτως· βραδυς γαρ και νωθης (89) τις ειναι δοκεις. αλλα τι σοι το τελος της επιςασεως;

ΦΙΛ. Ἡ αμαθια, και το μητε ακουειν μητε ὁραν.

ΑΓΟ. Ουκουν και κωφος ἁμα και τυφλος ειναι λεγεις;

ΦΙΛ. Και ακριτος γε προσετι και αναισθητος και ὁλως του σκωληκος ουδεν διαφερων.

ΑΓΟ. Ωνητεος ει δια ταυτα. ποσου τουτον αξιον χρη φαναι;

ΕΡΜ. Μνας Αττικης.

ΑΓΟ. Λαμβανε. — Τι φης, ω ουτος, επριαμην σε;

ΦΙΛ. Αδηλον.

ΑΓΟ. Μηδαμως. εωνημαι γαρ, και τἀργυριον κατεβαλον.

ΦΙΛ. Επεχω περι τουτου και διασκεπτομαι.

ΑΓΟ. Και μην ακολουθει μοι, καθαπερ χρη εμον οικετην.

ΦΙΛ. Τις οιδεν, ει αληθη ταυτα φης;

ΑΓΟ. Ὁ Κηρυξ, και ἡ μνα και οι παροντες.

ΦΙΛ. Παρεισι γαρ ἡμιν τινες;

ΑΓΟ. Αλλ' εγωγε σε ηδη εμβαλων ες τον μυλωνα πεισω ειναι δεσποτης κατα τον χειρω λογον. (90)

ΑΓΟ.

(89) νωθης) ῥαθυμος.

(90) κατα τον χ. λογ.) „Κρειττω (quidni κρειττων

ΦΙΛ. Επεχω περι τυτυ.

ΑΓΟ. Μα Δι', αλλ' ηδη γε απεφηναμην.

ΕΡΜ. Συ μεν παυσαι αντιτεινων και ακολυθει τω πριαμενω· ὑμας δ' ες αυριον προκαλυμεν. αποκηρυξειν γαρ τυς ιδιωτας και βαναυσυς και αγοραιυς βιυς μελλομεν·

των?) λογος est, quum verborum sophismatibus caussa infirmior fit fortior. Ηττω (ηττων) autem vel χειρω (ν) λογος eius, qui vincitur, etiamsi caussam iustam habeat." Reitz. ad h. l.

ΛΟΥ-

ΛΟΥΚΙΑΝΟΥ

ΑΛΙΕΥΣ η ΑΝΑΒΙΟΥΝΤΕΣ. (1)

ΣΩΚΡΑΤΗΣ ΠΛΑΤΩΝ ΕΜΠΕΔΟΚΛΕΙΣ ΛΟΥΚΙΑΝΟΣ ΦΙΛΟΣΟΦΙΑ ΑΛΗΘΕΙΑ. ΑΡΙΣΤΟΤΕΛΗΣ ΔΙΟΓΕΝΗΣ ΠΑΡΡΗΣΙΑΔΗΣ ΕΛΕΓΧΟΣ ΑΛΛΟΙ.

ΣΩΚΡ. Βαλλε, βαλλε (2) τον καταρατον τοις αφθο-

(1) Hunc Dialogum prioris Apologiam esse, aiunt Interpretes.' Mihi Αλιευς sic natus videtur. Riserat Lucianus sub priscorum Philosophorum nominibus, Philosophos suae aetatis, i. e. simias veterum illorum. qui cum; se peti, vel *non sentirent* vel sentire *nollent*, apertius illis dicit hoc Dialogo, ipsos esse eos, qui scutica digni fuerint. „Heus, boni, cur tantos clamores tollitis? cur me Platones atque Chrysippos deridendos propinasse accusatis? Quod igitur nasum non habebatis, et, *vobis* haec dici, non odorabamini, agedum, aurem iam vobis vellam." Ceterum cur hic Dial. inscriptus sit Αλιευς, patet in extremo Dialogo, vbi Moses Sol. dicit. „Lucianum hic piscatoris partes agere, quo philosophos illos, voluptati feruientes et auaritiae, illecebris auri captos detegat, e latebris tandem suis eruat, orbique terrarum deridendos exponat."

(2) Βαλλε, βαλλε.) calidius incipit. audire putes Imperatorem, in medio pugnae feruore mandata militibus dantem!

αφθονοις λιθοις. επιβαλλε των βωλων, προσεπιβαλλε (3) και των οςρακων. παιε τοις ξυλοις τον αλιτηριον. όρα, μη διαφυγη. Και συ, ω Πλατων, βαλλε, και συ, ω Χρυσιππε, και συ. (4) Παντες άμα ξυνασπισωμεν επ᾽ αυτον,

Ως πηρη πηρηφιν αρηγη, βακτρα δε βακτροις. (5) Κοινος γαρ πολεμιος, και ουκ εςιν, όντινα ήμων ουχ ύβρισε. συ δε, ω Διογενες; ει ποτε αλλοτε, χρω τω ξυλω, (6) μηδε ανης. διδοτω την αξιαν, (7) βλασφημος ων. — Τι τουτο; κεκμηκατε. (8) ω Επικουρε και Αριςιππε. και μην ουκ εχρην.

Εςε σοφοι, μνησασθε δε θουριδος οργης. (9) Αριςοτελες, επισπουδασον ετι θασσον. — Καλως εχει.

(3) βαλλε, - επιβ. - προσεπιβ) surgit oratio.

(4) και συ) nomen excidisse videri, ait Moses Sol. Fallitur! δεικτικως hoc est dictum, et ita, quasi res ante oculos nostros gereretur, expressum. Sic ab initio statim nihil dicit, nisi βαλλε, επιβαλλε, non addens, βαλλε, Επικουρε, aut βαλλε Αριςοτελες.

(5) ως πηρη - βακτροις) cui non risum moueat haec parodia? Locus Hom. est Ιλιαδ. β. 363.

(6) ξυλω) vid. not. 26. ad Βιων Πρασιν. „Etiam „alias minabantur, inquit Reitzius ad h. locum, et percu-„tiebant baculis philosophi.„ Ais?

(7) αξιαν) sub. δικην; vid. Bos. Ell. p. 88.

(8) κεκμηκατε) „Aptissime Epicurum et Aristippum, vtpote laboris metuentes, statim fessos inducit.„ Moses Sol.

(9) Εςε σοφοι - οργης) Discedo in sententiam Mosis Sol. et Reitzii, qui το ανερες addendum censent, sic:

Ανερες εςε, σοφοι — —

Versus Hom est Ιλιαδ. Λ. 287.

εχει. ἑαλωκε το θηριον. Ειληφαμεν σε, ω μιαρε! ειση γȣν αυτικα, ὃς τινας οντας ἡμας εκακηγορεις. τῳ τροπῳ δε τις αυτον και μετελθοι; ποικιλον γαρ τινα επινοωμεν θανατον κατ' αυτȣ, πασιν ἡμιν εξαρκεσαι δυναμενον. καθ' ἑκαςον ἑπτακις (10) γȣν δικαιος εςιν ἡμιν απολωλεναι.

ΠΛΑΤ. (11) Εμοι μεν ανεσκολοπισθαι δοκει αυτον, νη Δια, μαςιγωθεντα γε προτερον. τȣς οφθαλμȣς εκκεκοφθω, την γλωτταν αυτην επιπολυ προτερον αποτετμησθω. σοι δε τι, Εμπεδοκλεις, δοκει;

ΕΜΠ. Ες τȣς κρατηρας (12) εμπεσειν αυτον, ὡς μαθοι μη λοιδορεισθαι τοις κρειττοσι.

ΠΛΑΤ. Και μην αριςον ην, καθαπερ τον Πενθεα η Ορφεα, λακιςον (13) εν πετραισιν ἑυρεσθαι μορον, ἱνα αν και το μερος αυτȣ ἑκαςος εχων απαλλαττοιτο.

ΛΟΥΚ.

(10) καθ' εκ. επτακις) Mof. Sol. computat. Philofophos, et quod plures funt, quam feptem, male illum habet. — Effe putem numerum certum pro incerto. num enim, cum dicere vellet, pro vnoquoque Philofophorum perire debere Lucianum, id erat Socratis *feruentis, numerare antea,* quot eum circumftent Philofophi?

(11) ΠΛΑΤ.) Platoni heic abeundum erit, 1. quod paullo poft diuerfam ab hac fententiam profert. 2. quod et abeft a multis MSS. Recte hoc monuit Mofes Sol. Num vero in fronte horum verborum ponendi fint ΦΙΛΟΣ. aut Αλλοι, non ita apertum eft. Forte haec eft fententia Socratis, quae *fic* lata eft, vt prioribus per iram excuffis quam optime conueniat, et cum iis etiam *cohaereat.*

(12) κρατηρας) Aetnae, in quos ipfe fe praecipitem dedit.

(13) λακ.) Luci. Tragop. v. 116. ωμα, λακιςα κρεα. Εχιςον. Schol.

ΛΟΥΚ. Μηδαμως, αλλα προς Ἱκεσιȣ (14) φεισασθε μȣ!

ΣΩΚ. Αραρεν. ȣκ αν αφεθειης ετι, ὁρας δε δη και τον Ὁμηρον, ἁ λεγει, ως ȣκ

εςι λεȣσι και ανδρασιν ὁρκια πιςα; (15)

ΛΟΥΚ. Και μην καθ' Ὁμηρον ὑμας και αυτος ἱκετευσω. αιδεσεσθε γαρ ισως τα επη και ȣ παροψεσθε ῥαψωδησαντα με.

Ζωγρειτ' ȣ κακον ανδρα, (16) και αξια δεχθε αποινα, (17)

Χαλκον τε χρυσοντε, (18) τα δη φιλεȣσι σοφοι περ. (19)

ΠΛΑΤ. Αλλ' ουδε ἡμεις απορησομεν προς σε Ὁμηρικης αντιλογιας· ακȣε δη!

Μη δη μοι φυξιν γε, κακηγορε, βαλλεο θυμῳ,

Χρυσον περ λεξας, επει ἱκεο χειρας ες ἁμας. (20)

ΛΟΥΚ. Ω μοι των κακων! ὁ μεν Ὁμηρος ἡμιν απρακτος, ἡ μεγιςη ελπις. Επι τον Ευριπιδεα δη μοι καταφευκτεον. ταχα γαρ αν εκεινος σωσειε με.

Μη

(14) Ἱκεσιȣ) Διος.
(15) ως - πιςα) Ιλ. χ. 262.
(16) Ζωγρειτ' -) Ιλ. κ. 378.
(17) και αξ. δ. απ.) ib. α. 23.
(18) χαλκ. χρ.) ib. λ. 133.
(19) τα δ. φιλ. σοφ. π.) aculeum hunc de ſuo addit.
(20) Μη δη μοι - αμας) praeter illa, χρυσον περ λεξας, ex Ιλιαδ. κ. 447.

Μη κτεινῃ τον ἱκετην. ȣ γαρ θεμις κτανειν.

ΠΛΑΤ. Τι δε, ȣχι κἀκεινα Ευριπιδȣ εϛιν!

Ου δεινα πασχειν τȣς δεινα εργασμενȣς.

ΛΟΥΚ. Νυν ȣν ἑκατι ῥηματων κτεινετε με;

ΠΛΑΤ. Νη Δια. Φησι γȣν εκεινος αυτος.

Αχαλινων ϛοματων ανομȣ τ' αφροσυνας το τελος δυστυχια. (21)

ΛΟΥΚ. Ουκȣν επειδη δεδοκται παντως αποκτιννυναι, και ȣδεμια μηχανη τȣ διαφυγειν με, φερετε, τȣτο γȣν ειπατε μοι, όιτινες οντες, η, τι πεπονθοτες ανηκεϛον προς ἡμων ανηκεϛα οργιζεσθε, (22) και επι θανατῳ συνειληφατε με;

ΠΛΑΤ. Ἁτινα μεν ειργασαι ἡμας τα δεινα, σεαυτον ερωτα, ω κακιϛε, και τȣς καλȣς εκεινȣς σου λογȣς, εν όις φιλοσοφιαν τε αυτην κακως ηγορευες, και ες ἡμας ὑβριζες, ὡσπερ εξ αγορας αποκηρυττων σοφȣς ανδρας, και το μεγιϛον, ελευθερȣς. Εφ' όις αγανακτησαντες ανεληλυθαμεν επι σε, παραιτησαμενοι προς ολιγον τον Αϊδωνεα, Χρυσιππος ȣτοσι, και Επικ-

(21) Αχαλ. - δυστυχια) ex Bacchis', ;ν. 285, vbi haec ita fcribuntur:

> Αχαλινων ϛοματων
> Ανομȣ τ' αφροσυνας
> Το τελος δυστυχια. —

Vnde reliqua Euripidea fint, aut potius ex qua deperditarum eius Fabularum, ignoratur.

(22) ανηκ. οργιζ.) In quibusdam Codd. eft ἀμειλικτα, quod probant Ienfius et Graeuius, et probare videtur Mofes Sol.

κȣρος (23), και Πλατων εγω, και Αριστοτελης εκεινος, και ὁ σιωπων ȣτος Πυθαγορας, και Διογενης και ἁπαντες, ὁποσȣς διεσυρες εν τοις λογοις.

ΛΟΥΚ. Ανεπνευσα. ȣ γαρ αποκτενειτε με, ει μαθετε, ὁποιος εγω περι ὑμας εγενομην. ὡστε αποῤῥιψατε τȣς λιθȣς, μαλλον δε Φυλαττετε· χρησεσθε γαρ αυτοις κατα των αξιων.

ΠΛΑΤ. Ληρεις. σε δε χρη τημερον απολωλεναι· και ηδη γε

Λαϊνον εσσο χιτωνα κακων ἑνεχ᾽ ὁσσα εοργας. (24)

ΛΟΥΚ. Και μην, ω Αριστοι, ὁν εχρην μονον εξ ἁπαντων επαινειν οικειον τε ὑμιν οντα, και ευνȣν και ὁμογνωμονα, και ει μη Φορτικον ειπειν, κηδεμονα των επιτηδευματων, ευ ιστε, αποκτενȣντες; ην εμε αποκτεινητε, τοσαυτα ὑπερ ὑμων πεπονηκοτα, ὁρατε γȣν, μη των νυν Φιλοσοφων αυτο ποιητε, αχαριστοι και οργιλοι και αγνωμονες Φαινομενοι προς ανδρα ευεργετην.

ΠΛΑΤ. Ω της αναισχυντιας! και χαριν σοι της κακηγοριας προσοΦειλομεν; ȣτως ανδραποδοις αληθως οιει διαλεγεσθαι; η και ευεργεσιαν καταλογιῃ προς ἡμας

(23) και Επικȣρος) desiderat Moses Sol. Socratem, et reponendum censet, vbi reponat, incertus. non animaduertisse videtur Vir Doctus ad το, και απαντες, οποσȣς διεσυρες εν τοις λογοις. Nominauit Plato *obuios* quosque, reliquos complectens sub τοις απασι.

(24) Λαϊνον - εοργας) Ιλιαδ. γ. 57.

ἡμας επι τῃ τοσαυτῃ ὑβρει και παροινια των λογων;

ΛΟΥΚ. Πȣ γαρ εγω ἡμας η ποτε ὑβρικα, ὁς αει φιλοσοφιαν τε θαυμαζων διατετελεκα, και ὑμας αυτȣς ὑπερεπαινων, και τοις λογοις, ȣ̔ς καταλελοιπατε, ὁμιλων; αυτα γȣν, ἁ φημι ταυτα, ποθεν αλλοθεν η παρ' ὑμων παραλαβων και κατα την μελιτταν απανθισαμενος (25) επιδεικνυμαι τοις ανθρωποις; οἱ δε επαινȣσι και γνωριζȣσιν ἑκαςȣ το ανθος, ὁθεν και παρ' ὁτȣ και ὁπως ανελεξαμην, και λογῳ μεν εμε ζηλȣσι της ανθολογιας, το δε αληθες, ὑμας και τον λειμωνα τον ὑμετερον, οἱ τοιαυτα εξηνθηκατε ποικιλα και πολυειδη τας βαφας, ει τις αναλεξασθαι γε αυτα επιςαιτο και αναπλεξασθαι και ἁρμοσασθαι, ὡς μη απᾳδειν θατερον θατερȣ. Εσθ' ὁςις ȣν ταυτα ευ πεπονθως παρ' ὑμων κακως αν ειπειν επιχειρησειεν ευεργετας ανδρας, αφ' ὡν ειναι τις εδοξεν; εκτος ει μη κατα τον Θαμυριν η τον Ευρυτον (26) ειη την φυσιν, ὡς ταις Μȣσαις ανταδειν, παρ' ὡν ειληφε την ᾠδην, η τῳ Απολλωνι εριδαι-

(25) κατα τ. μελ. απανθ.) Proferemus locum ex Isocrate, ad Demon. extr. p. 26. Ωσπερ την μελισσαν ορωμεν εφ' απαντα μεν τα βλαςηματα καθιζȣσαν, αφ' εκαςȣ δε τα χρησιμα λαμβανȣσαν, ȣτω χρη και τȣς παιδειας ορεγομενȣς, μηδενος μεν απειρως εχειν, πανταχοθεν δε τα χρησιμα συλλεγειν.

(26) Θαμυρ. κ. Ευρ.) de Thamyri et Euryto cfr. Homerum, de illo Ιλιαδ. β. 594. (non 102. vt Mos. Sol. vult) de hoc Οδυσσ. θ. 225-29.

δαινειν, εναντια τοξευων, και ταυτα δοτηρι οντι της τοξικης.

ΠΛΑΤ. Τȣτο μεν, ω γενναιε, κατα τȣς ῥητορας ειρηται σοι. εναντιωτατον γȣν εςι τῳ πραγματι, και χαλεπωτεραν σȣ επιδεικνυσι την τολμαν, ειγε τη αδικιᾳ και αχαριςια προσεςιν, ὁς παρ' ἡμων τα τοξευματα, ὡς φης, λαβων, καθ' ἡμων ετοξευες, ἑνα τȣτον ὑποθεμενος τον σκοπον, ἁπαντας ἡμας αγορευειν κακως. τοιαυτα παρα σȣ απειληφαμεν, ανθ' ὡν σοι τον λειμωνα εκεινον αναπετασαντες ȣκ εκωλυομεν δρεπεσθαι, και το προκολπιον εμπλησαμενον απελθειν, ὡςε δια γε τȣτο (27) μαλιςα δικαιος αν ειης αποθανειν.

ΛΟΤΚ. Ὁρατε, προς οργην ακȣετε και ȣδεν των δικαιων προσιεσθε. καιτοι ȣκ αν ῳηθην ποτε, ὡς οργη Πλατωνος η Χρυσιππȣ η Αριςοτελȣς η των αλλων ὑμων καθικοιτο αν· αλλα μοι εδοκειτε μονοι δη πορρω ειναι τȣ τοιȣτȣ. πλην αλλα μη ακριτον (28) γε, ω θαυμασιοι, μηδε προ δικης αποκτεινητε με. ὑμετερον γȣν και τȣτο ην, μη βιᾳ, μηδε κατα το ισχυροτερον πολιτευεσθαι, δικη δε τα διαφορα διαλυεσθαι διδοντας λογȣς και δεχομενȣς εν τῳ μερει· ὡςε

(27) *δια γε τȣτο*) „si nullam aliam ob rem, *certe ob* hanc, mortem meritus es.„

(28) *ακριτον*) de quo non iudicatur. fupra, *Βιων Πρασει* extrema, actiue eft pofitum, „ qui non iudicat, vel iudicare nefcit.„

ὡϛε δικαϛην ἑλομενοι κατηγορησατε μεν ὑμεις, η ὁν τινα αν χειροτονησητε ὑπερ ἁπαντων. εγω δε απολογησομαι προς τα εγκληματα. κᾀτα ει μεν τι αδικων Φαινωμαι, (29) και τȣτο περι εμȣ γνῳ το δικαϛηριον, ὑΦεξω δηλαδη την αξιαν, ὑμεις δε βιαιον ȣδεν τολμησετε. ην δε τας ευθυνας ὑποσχων καθαρος ὑμιν και ανεπιληπτος ἑυρισκωμαι, αΦησȣσι μεν οἱ δικαϛαι, ὑμεις δε εις τȣς εξαπατησαντας ὑμας και παροξυναντας καθ' ἡμων την οργην τρεψετε.

ΠΛΑΤ. Τȣτο εκεινο, ες πεδιον τον ἱππον, ὡς παρακρȣσαμενοςτȣς δικαϛας απελθοις. Φασι γȣν ῥητορα σε και δικανικον τινα' ειναι και πανȣργον εν τοις λογοις. τινα δε και δικαϛην εθελεις γενεσθαι, ὁν τινα μη συ δωροδοκησας, οἱα πολλα ποιειτε αδικα, πεισεις ὑπερ σȣ ψηΦισασθαι;

ΛΟΥΚ. Θαῤῥειτε τȣτȣ γε ἑνεκα· ȣδενα τοιȣτον διαιτητην ὑποπτον η αμΦιβολον αξιωσαιμ' αν γενεσθαι, και ὁϛις αποδωσεται μοι την ψηΦον. Ὁρατε γȣν, την ΦιλοσοΦιαν αυτην μεθ' ὑμων ποιȣμαι δικαϛριαν εγωγε.

ΠΛΑΤ. Και τις αν κατηγορησειεν, ειγε ἡμεις δικαζομεν;

ΛΟΥΚ. Ὁι αυτοι κατηγορειτε και δικαζετε. ȣδεν ȣδε

(29) Φαινωμαι) legebatur antea Φαινομαι. dabat Ienfius Φαινω, quodque dedit, habet Poli Collatio et Bafil. Edit. 2da.

ουδε τουτο δεδια. τοσουτον ὑπερφερω τοις δικαιοις και εκ περιουσιας (30) απολογησασθαι ὑπολαμβανω!

ΠΛΑΤ. Τι ποιουμεν, ω Πυθαγορα και Σωκρατες; εοικε γαρ ανηρ ουκ αλογα προκαλεισθαι, δικαζεσθαι αξιων.

ΣΩΚ. Τι δε αλλο, η βαδιζωμεν επι το δικαστηριον, και την Φιλοσοφιαν παραλαβοντες ακουσωμεν, ὁ, τι και απολογησεται. το προ δικης (31) γαρ ουχ ἡμετερον, αλλα δεινως ιδιωτικον, οργιλων τινων ανθρωπων, και το δικαιων εν τη χειρι (32) τιθεμενων. Παρεξομεν γουν αφορμας τοις κακηγορειν εθελουσι, καταλευσαντες ανδρα μηδε απολογησαμενον ὑπερ ἑαυτου, και ταυτα, δικαιοσυνη χαιρειν αυτοι λεγοντες. η τι αν ειποιμεν Ανυτου και Μελιτου περι, των εμου κατηγορησαντων, η των τοτε δικαστων, ει οὑτος τεθνηξεται, μηδε τοπαραπαν ὑδατος μεταλαβων; (33)

ΠΛΑΤ. Αριστα παραινεις, ω Σωκρατες, ὡστε απιωμεν επι την Φιλοσοφιαν. ἡ δε δικασατω και ἡμεις αγαπησομεν ὁις αν εκεινη διαγνω.

ΛΟΥΚ. Ευγε ω σοφωτατοι, αμεινω ταυτα και νομιμωτερα. τους μεντοι λιθους φυλαττετε, ὡς εφην. δεη-

(30) εκ περιουσιας) fatis fuperque, plus, quam opus eft.

(31) το προ δικης) προσυπακουστεον, καταψηφιζεσθαι. Schol.

(32) εν τη χειρι) εν τω βιαζεσθαι, εν τη δυναμει. id.

(33) υδατος μεταλαβων) fi ne permiffum quidem ei fuerit, ad *clepfydram* dicere.

δεησει γαρ αυτων μικρον ὑϛερον εν τῳ δικαϛηριῳ. — Πȣ δε την Φιλοσοφιαν ἑυροι τις αν; (34) ȣ γαρ οιδα, ενθα οικει, καιτοι πανυ πολυν επλανηθην χρονον αναζητων την οικιαν, ὡς ξυγγενοιμην αυτῃ. Ειτα εντυγχανων αν τισι τριβωνια περιβεβλημενοις και πωγωνας βαθεις καθειμενοις, παρ᾽ αυτης εκεινης ἡκειν φασκȣσιν, οιομενος ειδεναι αυτȣς, ανηρωτων. οἱ δε πολυ μαλλον εμȣ αγνοȣντες η ȣδ᾽ ὁλως απεκρινοντο μοι, ὡς μη ελεγχοιντο ȣκ ειδοτες, η αλλην θυραν αντ᾽ αλλης απεδεικνυον. ουδεπω γȣν και εξευρειν δεδυνημαι την οικιαν. Πολλακις δε αυτος εικασας, η ξεναγησαντος τινος ἡκον αν επι τινας θυρας, βεβαιως ελπισας ποτε γȣν ευρηκεναι, τεκμαιρομενος τῳ πληθει των εσιοντων τε και εξιοντων ἁπαντων σκυθρωπων και τα σχηματα ευϛαλων και φροντιϛικων την προσοψιν. μετα τȣτων ȣν ξυμπαραβυσθεις και αυτος εσηλθον αν· ειτα ἑωρων γυναιον τι ȣχ ἁπλοϊκον, ει και ὁτι μαλιϛα ες το αφελες και ακοσμητον ἑαυτην επερρυθμιζεν, αλλα κατεφανη μοι αυτικα ȣδε το αφετον δοκȣν της κομης ακαλλωπιϛον εωσα, ȣδε τȣ ἱματιȣ την αναβολην ανεπιτευδητως περιϛελλȣσα. προδηλος δε ην κοσμȣμενη αυτοις και προς ευπρεπειαν τῳ αθεραπευτῳ δοκȣντι προσχρωμενη. ὑπεφαινετο δε τι και ψιμυθιον και φυκος (35) και τα ῥηματα πανυ ἑταιρικα· και,

(34) Πȣ δε την Φ. - αν) exulare, Athenis praesertim veram Philosophiam, id sibi vult iis, quae sequuntur.

(35) Φυκος) de h. v. Ez. Spanh. ad Call. T. II. Ed.

καȣ, επαινȣμενη ὑπο των εραςων ες το καλλος, (36) εχαιρε. και ει δοιη τις, προχειρως εδεχετο, και τȣς πλȣσιωτερȣς αν παρακαθιταμενη πλησιον, τȣς πενητας των εραςων ȣδε προσεβλεπε· πολλακις δε και γυμνωθεισης αυτης κατα το ακȣσιον ἑωρων περιδεραια χρυσα, των εγχελεων παχυτερα. Ταυτα ιδων επι ποδας αυ ευθυς ανεςρεφον, οικτειρας δηλαδη τȣς κακοδαιμονας εκεινȣς ἑλκομενȣς προς αυτης, ȣ της ῥινος, αλλα τȣ πωγωνος, και κατα τον Ιξιονα, ειδωλῳ αντι της Ἡρας ξυνοντας.

ΠΛΑΤ. Τȣτο μεν ορθως ελεξας· ȣ γαρ προδηλος ȣδε πασι γνωριμος ἡ θυρα. Πλην αλλ' ȣδεν δεησει βαδιζειν επι την οικιαν· ενταυθα γαρ εν Κεραμεικῳ ὑπομενȣμεν αυτην. ἡ δε ηδη πȣ αφιξεται επανιȣσα εξ Ακαδημιας, ὡς περιπατησειε και εν τῃ Ποικιλῃ. Τȣτο γαρ ὁσημεραι εθος ποιειν αυτῃ.-- Μαλλον δε προσεισιν. ὁρας την κοσμιον την απο τȣ σχηματος, την προσηνη το βλεμμα, την επι συννοιᾳ ηρεμα βαδιζȣσαν;

ΛΟΥΚ.

Ed. Ern. p. 510. ita: Vſurpatur h. v. nominatim de eiusmodi *alga marina*, quae in mari ad Cretam naſcebatur, et qua ad inficiendas rubro colore lanas, veſtes — vtebantur. Vnde factum, vt traducta quoque eadem vox fuerit ad muliebria pigmenta, ac inde Φυκος et a Lat. etiam ſcriptoribus *fucus*, de quouis medicamine, quo inficitur mulierum facies, diceretur, nempe tam rubei coloris, quam alterius etiam cuiuscunque etc. Plura vid. ap. ipſum.

(36) *επαιν - ες το καλλος*) *ob* pulchrit. laud.

ΛΟΥΚ. Πολλας ὁμοιας ὁρω τογε σχημα και το βαδισμα και την αναβολην, καιτοι μια παντως ἡγε αληθης Φιλοσοφια και εν αυταις.

ΠΛΑΤ. Ευ λεγεις. αλλα δηλωσει, ἡτις εςι φθεγξαμενη μονον.

ΦΙΛΟΣ. Παπαι! Τι Πλατων και Χρυσιππος ανω και Αριςοτελης και ὁι λοιποι ἁπαντες, αυτα δη τα κεφαλαια μου των μαθηματων; τι αυθις ες τον βιον; αρα τις ὑμας ελυπει των κατω; οργιζομενοις γουν εοικατε. και τινα τουτον ξυλλαβοντες αγετε; η που λωποδυτης τις η ανδροφονος, η ἱεροσυλος εςι; (37)

ΠΛΑΤ. Νη Δια, ω Φιλοσοφια, παντων γε ἱεροσυλων ασεβεςατος, ὁς την ἱερωτατην σε κακως αγορευειν επεχειρησε, (38) και ἡμας ἁπαντας, ὁποσοι τι, παρα σου μαθοντες, τοις μεθ' ἡμας καταλελοιπαμεν.

ΦΙΛ. Ειτα ηγανακτησατε λοιδορησαμενου τινος, και ταυτα ειδοτες εμε, ὁια προς της κωμωδιας ακουσα εν Διονυσιοις, (39) ὁμως φιλην τε αυτην ἡγημαι, και ουτε εδικασαμην, ουτε ητιασαμην προσελθουσα· εφιημι δε παιζειν τα εικοτα και τα ξυνηθη τη ἑορτη. οιδα γαρ

(37) Τι Πλατων - ιεροσ. εςι) sexcenta vno halitu quaerit. ita obstupefacta est adspectu charorum sibi capitum!

(38) ος τ. ιερ. - επεχ.) solito multis artificio et Plato caussam suam facit caussam Philosophiae.

(39) εν Διονυσιοις) Διονυσιοις γαρ μονοις εφειτο το θεατρον τοις ποιηταις επι το κωμωδειν. Schol.

γαρ, ὡς ϐκ αν τι ὑπο σκωμματος χειρον γενοιτο, αλλα τϐναντιον ὁπερ αν ῃ καλον, ὡσπερ το χρυσιον αποσπωμενον (40) τοις κομμασι, λαμπροτερον αποςιλβει και φανερωτερον γινεται. ὑμεις δε ϐκ οιδα ὁπως οργιλοι και αγανακτικοι γεγονατε. τι δ' ϐν αυτον αγχετε;

ΠΛΑΤ. Μιαν ἡ ἡμεραν ταυτην παραιτησαμενοι ἡκομεν επ' αυτον, ὡς ὑποσχῃ την αξιαν, ὡν δεδρακε. Φημαι γαρ ἡμιν διηγγελλον, οια ελεγεν επιων ες τα πληθη καθ' ἡμων.

ΦΙΛ. Ειτα προ δικης, ϐτε απολογησαμενον, αποκτενειτε; δηλος γϐν εςιν ειπειν τι θελων.

ΠΛΑΤ. Ουκ· αλλ' επι σε το παν ανεβαλλομεθα· και σοι ὁ, τι αν δοκῃ, τϐτο ποιησει τελος της δικης.

ΦΙΛ. Τι φῃς συ;

ΛΟΥΚ. Τϐτο αυτο, ω Δεσποινα Φιλοσοφια, ἡπερ και μονη ταληθες εξευρειν δυναιο. μολις γϐν εὑρομην πολλα ἱκετευσας το σοι φυλαχθηναι την δικην.

ΠΛΑΤ. Νυν, ω καταρατε, Δεσποιναν αυτην καλεις, πρωην δε το ατιμοτατον Φιλοσοφιαν απεφαινες, εν τοσϐτῳ αποκηρυττων θεατρῳ, κατα μερη δυ' οβολων ἑκαςον ειδος αυτης των λογων.

ΦΙΛ. Ὁρατε, μη ϐ Φιλοσοφιαν ϐτος γε, αλλα γοητας ανδρας επι τῳ ἡμετερῳ ονοματι πολλα και μιαρα πραττοντας ηγορευε κακως.

(40) *αποσπωμενον*) malim fere legere *αποσμωμενον*, cum Graeuio, Gesnero et Mose Sol. „ aurum percussione detersum.„

ΛΟΥΚ. Εισῃ αυτικα, ην εθελης απολογȣμενȣ ακȣειν. Μονον απιωμεν επ' Αρειον Παγον, μαλλον δε εις την Ακροπολιν αυτην, ὡς αν εκ περιωπης ἁμα καταφανειη παντα τα εν τῃ Πολει.

ΦΙΛ. Ὑμεις δε, ω φιλαι, εν τῃ Ποικιλῃ τεως περιπατησατε· ἡξω γαρ ὑμιν, εκδικασασα την δικην.

ΛΟΥΚ. Τινες δε εισιν, ω Φιλοσοφια; πανυ γαρ κοσμιαι και ἁυται δοκȣσιν.

ΦΙΛ. Αρετη μεν ανδρωδης ἁυτη, Σωφροσυνη δε εκεινη, και Δικαιοσυνη παρ' αυτην, ἡ προηγȣμενη δε, Παιδεια. ἡ αμυδρα δε ἁυτη και ασαφης το χρωμα, ἡ Αληθεια εστιν.

ΛΟΥΚ. Ουχ ὁρω, ἡν τινα και λεγεις.

ΦΙΛ. Την ακαλλωπιστον εκεινην ȣχ ὁρας, την γυμνην, την ὑποφευγȣσαν αει και διολισθαινȣσαν;

ΛΟΥΚ. Ὁρω νυν μολις. αλλα τι ȣχι και ταυτας αγεις, ὡς πληρες γενοιτο και εντελες το συνεδριον; την Αληθειαν δε γε και ξυνηγορον αναβιβασασθαι προς την δικην βȣλομαι.

ΦΙΛ. Νη Δια, ακολȣθησατε και ὑμεις. ȣ βαρυ γαρ μιαν δικασαι δικην, και ταυτα περι των ἡμετερων εσομενην.

ΑΛΗΘ. Απιτε ὑμεις. εγω γαρ ȣδεν δεομαι ακȣειν, ἁ παλαι οιδα ὁποια εστιν.

ΦΙΛ. Αλλ' ἡμιν, ω Αληθεια, ενδεοντι ξυνδικαζοις αν, ὡς και καταμηνυοις ἑκαστα.

ΑΛΗΘ.

ΑΛΗΘ. Ουκȣν επαγωμαι και τω θεραπανιδιω τȣτω, ευνοϊκωτατω μοι οντε.

ΦΙΛ. Και μαλα ὲπεσας αν εθελῃς.

ΑΛΗΘ. Ἑπεσθον, ω Ελευθερια και Παῤῥησια, μεθ' ἡμων, ὡς τον δειλαιον τȣτον ανθρωπισκον, εραςην ἡμετερον οντα και κινδυνευοντα επι μηδεμιᾳ προφασει δικαιᾳ, σωσαι δυνηθωμεν. συ δε, Ελεγχε, αυτȣ περιμενον.

ΛΟΥΚ. Μηδαμως, ω Δεσποινα! ἡκετω δε και ȣτος, και ει τις αλλος. ȣ γαρ τοις τυχȣσι θηριοις (41) προσπολεμησαι δεησει μοι, αλλ' αλαζοσιν ανθρωποις και δυσελεγκτοις, αει τινας αποφυγας ἑυρισκομενοις, ὡςε αναγκαιος ὁ Ελεγχος.

ΦΙΛ. Αναγκαιοτατος μεν ȣν. αμεινον δε, ει και την Αποδειξιν παραλαβοις. (42)

ΑΛΗΘ. Ἑπεσθε παντες, επειπερ αναγκαιοι δοκειτε προς την δικην.

ΑΡΙΣΤ. Ὁρας, προσεταιριζεται καθ' ἡμων, ω Φιλοσοφια, την Αληθειαν.

ΦΙΛ. Ειτα δεδιατε, ω Πλατων, και Χρυσιππε, και Αριςοτελες, μητι ψευσηται ὑπερ αυτȣ Αληθεια ȣσα.

ΠΛΑΤ. Ου τȣτο, αλλα δεινως πανȣργος εςι και κολακικος, ὡςε παραπεισει αυτην.

ΑΛΗΘ.

(41) ȣ τυχ. θηρ.) animantia, qualia *non quotidie* videas.

(42) *αμεινον - παραλ.*) haec ad Αληθειαν funt dicta.

ΑΛΗΘ. Θαῤῥειτε. ȣδεν ȣ μη γενηται αδικον, Δικαιοσυνης ταυτης συμπαρȣσης. Απιωμεν ȣν! — Αλλ' ειπε μοι συ, τι σοι ȣνομα; (43)

ΛΟΥΚ. Εμοι Παῤῥησιαδης, Αληθιωνος τȣ Ελεγξικλεȣς.

ΦΙΛ. Πατρις δε;

ΛΟΥΚ. Συρος, ω Αληθεια, των Επευφρατιδιων. αλλα τι τȣτο; και γαρ τȣτων τινας οιδα των αντιδικων μȣ, ȣχ ἡττον εμȣ βαρβαρȣς το γενος. ὁ τροπος δε και ἡ παιδεια ȣ κατα Σολεας (44) η Κυπριȣς, η Βαβυλωνιȣς η Σταγειριτας. καιτοι προς γε σε, ȣδεν αν γενοιτο ελαττον, ȣδ' ει την φωνην βαρβαρος ειη τις, ειπερ ἡ γνωμη ορθη και δικαια φαινοιτο ȣσα.

ΦΙΛ. Ευ λεγεις. αλλως γȣν τȣτο ηρομην (45) — ἡ τεχνη δε σοι τις; αξιον γαρ επιςασθαι τȣτο γε.

ΛΟΥΚ. Μισαλαζων ειμι και μισογοης, και μισοψευδης, και μισοτυφος, και μισω παν το τοιȣτωδες ειδος των μιαρων ανθρωπων. πανυ δε πολλοι εισιν, ὡς οισθα.

ΦΙΛ. Ἡρακλεις, πολυμισῆ τινα μετει την τεχνην.

ΛΟΥΚ.

(43) Αλλ' ειπε -) haec vsque ad verba illa, Αγε δη παρεσμεν γαρ, ενθα εχρην — inter eundum inuicem colloquuntur Philofophia, Veritas et Lucianus.

(44) Σολεας) Σολοι, Κιλικιας πολις. — ο πολιτης Σολευς η Σολιος. Steph. Byzant. in h. v.

(45) αλλως γ. τ. ηρομην) idem fere eft, quod Noftri dicunt: *ich meinte nur*, *ich fragte nur fo*, i. e. fine certo confilio. Sic iam fupr. in Iudic. Par. pag. 30.

ΛΟΥΚ. Ευ λεγεις. εςως γεν όποσοις απεχθανομαι, και ὡς κινδυνευω δι' αυτην; ε μην αλλα και την εναντιαν αυτη παιυ ακριβως οιδα· λεγω δη την απο τε Φιλω, την αρχην εχεσαν. Φιλαληθης γαρ ειμι και Φιλοκαλος, και Φιλαπλεικος και όσα τῳ Φιλεισθαι συγγενη. Πλην αλλ' ολιγοι παιυ ταυτης αξιοι της τεχνης· οἱ δε ὑπο τη εναντιᾳ τατ-τομενοι, και τῳ μισει οικειοτεροι, πεντακισμυριοι. κινδυνευω τοιγαρεν, την μεν ὑπ' αργιας απομαθειν ηδη. την δε, πανυ ηκριβωκεναι.

ΦΙΛ. Και μην εκ εχρην. τε γαρ αυτε και ταδε φασι, και ταδε, (46) ὡςε μη διαιρει τω τεχνα. (47) μια γαρ εςον, δυ' ειναι δοκεσαι.

ΛΟΥΚ. Αμεινον συ οισθα ταυτα, ω Φιλοσοφια. το μεντοι εμον τοιετον εςιν, όιον τες μεν πονηρες μισειν, επαινειν δε τες χρηςες και Φιλειν.

ΦΙΛ. Αγε δη, παρεσμεν γαρ, ενθα εχρην· ενταυθα πε εν τῳ προναῳ της Πολιαδος δικαζωμεν· ἡ Ἱερεια διαθες ἡμιν τα βαθρα, ἡμεις δε εν τοσετῳ προσκυνησωμεν την Θεον.

ΛΟΥΚ.

(46) και ταδε φ. κ. τ.) „sc. τε αυτε ανθρωπε, ειναι, h. e. et haec et illa indicant eiusdem hominis sc. artem vel ingenium. „dubito, an haec vere Hor. Vitringa? multo simplicius videtur: vtrumque (et amare et odisse) eiusdem hominis est. Φασι enim saepius περιφρασει seruit.

(47) τω τεχνα) proprie τα τεχνα. Sed, ειωθασιν οι Αττικοι τα θηλυκα αρθρα αρσενικως εκφερειν - ex Schol. Soph. ad Aiac. profert Reitz.

X

ΛΟΥΚ. Ω Πολιας, (48) ελθε μοι κατα των αλαζονων συμμαχος, αναμνησθεισα, όποσα επιορκουντων όσημεραι ακουεις αυτων. και ά πραττουσι δε, μονη όρας, άτε δη επισκοπος ουσα· (49) νυν καιρος αμυνασθαι αυτους. εμε δε ην που κρατουμενον ιδης, και πλειους ωσιν άι μελαιναι, συ προσθεισα την σεαυτης, (50) σωζε. (51)

ΦΙΛ. Ειεν. ἡμεις μεν ὑμιν και δη καθημεθα ἑτοιμοι ακουειν των λογων. ὑμεις δε, προελομενοι τινα εξ ἁπαντων, όστις αριστα κατηγορησαι αν (52) δοκη, ξυνειρετε την κατηγοριαν και διελεγχετε. ου γαρ όιον τε παντας ἁμα λεγειν. συ δε, ω Παῤῥησιαδη, απολογηση το μετα τουτο.

ΑΝΑΒ.

(48) Πολιας) quod apud Aelian. V. H. II. 9. eſt Πολιας Αθηνα, hinc et hic το Αθηνα, deſiderare videtur REITZIVS. at non opus eſt. quae enim alia Πολιας heic intelligi poteſt, quam Minerua? immo vero delendum putem το Αθηνα, ſi adeſſet.

(49) επισκ. ουσα) cur vt praeſtantiorem h. lectionem, επι σκοπης οικουσα, ampleċtatur, MOSI SOL. non placuit dicere.

(50) τ. σεαυτης) ſub. ψηφον.

(51) συ προσθ. - σωζε). Vti Oreſtem olim. plures enim de Oreſte haec, quam de Themiſtocle, referunt, locus princeps eſt AESCH. Eumen. v. 738. ſeqq. ad quem vid. STANLEIVS. adde BARNES. ad EVRIP. p. 106. T. II.

(52) κατηγορησαι αν) Χρονοι αντι χρονων συνηθως λαμβανονται, ηγουν ενεστως και παρωχημενος αντι αληθως μελλοντος. Euſtath. ad Ιλιαδ. δ. 161. Quare recte REITZIVS reiicit lectionem, κατηγορησειν, quam ex MS. Gr. et L. arripuit Mos. Sol. Profecta videtur *haec* lectio a librario, illius obſeruationis ignaro.

ΑΝΑΒ. Τις ȣν ὁ επιτηδειοτατος εξ ἡμων αν γενοιτο προς την δικην;

ΧΡΥΣ. Σȣ, (53) ω Πλατων, ἡτε μεγαλονοια θαυμαςη και καλλιφωνια δεινως Αττικη, και το κεχαρισμενον και πειθȣς μεςον· ἡτε συνεσις και το ακριβες και το επαγωγον εν καιρῳ των αποδειξεων, παντα ταυτα σοι αθροα προσεςιν, ὡςε την προσηγοριαν δεχȣ (54) και ὑπερ ἁπαντων ειπε τα εικοτα. Νυν αναμνησθητι παντων εκεινων, και συμφορει εις το αυτο, ει τι σοι προς Γοργιαν η Πωλον η Προδικον η Ἱππιαν ειρηται. δεινοτερος ȣτος εςιν. επιπαττε ȣν και τας ειρωνειας, και τα κομψα εκεινα και συνεχη ερωτα. κἀν σοι δοκη κἀκεινο πȣ παραβυσον, ὡς ὁ μεγας Ζευς, πτηνον ἁρμα ελαυνων, (55) αγανακτησειεν αν, ει μη ȣτος ὑποσχη την δικην.

ΠΛΑΤ. Μηδαμως· αλλα τινα των σφοδροτερων προχειρισωμεθα, Διογενην τȣτον, η Αντισθενην, η Κρατητα, η και σε, ω Χρυσιππε. ȣ γαρ δη καλλȣς εν τῳ παροντι και δεινοτητος συγγραφικης ὁ καιρος, αλλα

(53) Σȣ) συ habet Poli Coll. ſed σȣ eſt exquiſitius.

(54) προσ. δεχȣ) praeter Iuntinam et alias quasdam Editt. προηγοριαν habet Thom. Mag. qui h. l. laudat: προηγορια και υπεργορια το προ των αλλων λεγειν. — Λȣκιανος εν τῳ Αναβ. η Αλιευς· τ. προηγ. δ. Quare vacillat fere vulgata lectio.

(55) πτ. αρμα ελ.) alluſio ad locum in Phaedro Platonis.

αλλα τινος ελεγκτικης και δικανικης παρασκευης. ῥητωρ δε ὁ Παῤῥησιαδης εστιν.

ΔΙΟ. Αλλ' εγω αυτου κατηγορησω. και γαρ ουδε πανυ μακρων οιμαι των λογων δεησεσθαι. και αλλως δε ὑπερ ἁπαντας ὑβρισμαι, δυ' οβολων πρωην αποκεκηρυγμενος.

ΠΑΛ. Ὁ Διογενης, ω Φιλοσοφια, ερει τον λογον (56) τον ὑπερ ἁπαντων. Μεμνησο δε, ω γενναιε, μη τα σεαυτου μονον πρεσβευειν εν τῃ κατηγορια, τα κοινα δε ὁρων. ει γαρ τι και προς αλληλους διαφερομεθα εν τοις λογοις, συ δε τουτο μεν μη εξεταζε, μηδ' ὁστις εστιν ὁ αληθεστερος, νυν λεγε. ὁλως δε, ὑπερ Φιλοσοφιας αυτης αγανακτει περιυβρισμενης και κακως ακουουσης εν τοις Παῤῥησιαδου λογοις. και τας προαιρεσεις αφεις, εν ἁις διαλαττομεν, ὁ κοινον ἁπαντες εχομεν, τουτο ὑπερμαχει. (57) Ὁρα, σε μονον προεστησαμεθα, και εν σοι τα παντα ἡμων νυν κινδυνευεται. η σεμνοτατα δοξαι, η τοιαυτα πιστευθηναι, ὁια ουτος απεφηνε.

ΔΙΟΓ. Θαῤῥειτε, ουδεν ελλειψομεν, ὑπερ ἁπαντων ερω. κἀν ἡ Φιλοσοφια δε προς τους λογους επικλασθεισα (φυσει γαρ ἡμερος και πρᾳος εστιν) αφειναι δικα-

(56) ο Διογ. - τ. λογον) haec a verbis inde, τις ουν ο επιτηδειοτατος —: feorfim inter fe collocuti videntur οι Αναβιουντες. iam refert Plato ad Philofophiam, quis oratoris manus fufceperit?

(57) υπερμαχει) αντι του, κατασκευαζε, επειπερ τῳ υπερμαχειν αιτιατικη συντασσεται. Schol. Voff.

διαβουλευηται αυτον, αλλ' ου τα εμα ενδεησει. δειξω γαρ αυτω, ότι μη ματην ξυλοφορουμεν. (58)

ΦΙΛ. Τουτο (59) μεν μηδαμως, αλλα τω λογω μαλλον· αριστον γαρ, ηπερ τω ξυλω. μη μελλε δ' ουν, ηδη γαρ εγκεχυται το ύδωρ και προς σε το δικαστηριον αποβλεπει.

ΛΟΥΚ. 'Οι λοιποι καθιζεσθωσαν, ω Φιλοσοφια, και ψηφοφορειτωσαν μεθ' ύμων· Διογενης δε κατηγορειτω μονος!

ΦΙΛ. Ου δεδιας ουν, μη σου καταψηφισωνται;

ΛΟΥΚ. Ουδαμως, πλειοσι (60) γουν κρατησαι βουλομαι.

ΦΙΛ. Γενναια σου ταυτα. καθισατε δ'ουν· συ δε, ω Διογενες, λεγε.

ΔΙΟ. 'Οιοι μεν ήμεις ανδρες εγενομεθα περι τον βιον, (61) ω Φιλοσοφια, πανυ ακριβως οισθα και ουδεν δει λογων. ίνα γαρ το κατ' εμε σιωπησω, αλλα Πυθαγοραν τουτον και Πλατωνα και Αριστοτελην και Χρυσιππον και τους αλλους, τις ουκ οιδεν, όσα ες τον βιον καλα εσεκομισαντο; ά δε τοιουτους οντας ή-

μας

(58) μη ματ. ξυλοφορουμεν) clauam intentat homo.
(59) Τουτο) IENSIVS conicit τουτω, vt refpondeat τω, λογω et ξυλω.
(60) πλειοσι) fub. ψηφοις.
(61) περι τον βιον) ad De luctu, T. II. p. 929. poenitet Reitzium, heic το παρα, quod *tres* Codd. exhibent, non recepisse. et in alio loco Lucianeo (Catapl. 9.) auctoritas το περι extrusit.

μας (62) ὁ τρισκαταρατος ȣτοσι Παῤῥησιαδης ὑβρικεν, ηδη ερω· ῥητωρ γαρ τις, ὡς φασιν, ων, απολιπων τα δικαςηρια και τας εν εκεινοις ευδοκιμησεις, ὁποσον η δεινοτητος η ακμης επεποριςο εν τοις λογοις, τȣτο παν εφ' ἡμας συσκευασαμενος, ȣ παυεται μεν αγορευων κακως, γοητας και απατεωνας αποκαλων, τα πληθη δε αναπειθων καταγελαν ἡμων και καταφρονειν, ὡς το μηδεν οντων· μαλλον δε και μισεισθαι προς των πολλων ηδη πεποιηκεν αυτȣς τε ἡμας και σε, την Φιλοσοφιαν, φληναφȣς και ληρȣς αποκαλων τα σα, και τα σπȣδαιοτατα, ὡν ἡμας επαιδευσας, επι χλευασμω διεξιων, ὡςε ἑαυτον μεν κροτεισθαι και επαινεισθαι προς των θεατων, (63) ἡμας δε ὑβριζεσθαι. Φυσει γαρ τοιȣτον εςιν ὁ πολυς λεως, χαιρȣσι τοις αποσκωπτȣσι και λοιδορȣμενοις, και μαλισθ' όταν τα σεμνοτατα ειναι δοκȣντα διασυρηται· ὡσπερ αμελει και παλαι εχαιρον Αριςοφανει και Ευπολιδι, Σωκρατην τȣτον, επι χλευασια παραγȣσιν επι την σκηνην και κωμωδȣσιν αλλοκοτȣς τινας περι αυτȣ κωμωδιας. καιτοι εκεινοι μεν καθ' ἑνος ανδρος ετολμων τα τοιαυτα, και εν Διονυσιοις εφειμενον αυτο δραν, και το σκωμμα μερος τι εδοκει της ἑορ-

(62) τοιȣτȣς οντας ημας) de fuis erga homines meritis tacere fe velle dixerat, (ινα το κατ' εμε σιωπησω) at heic *et fe* in hoc eorum numero comprehendit, qui *tanti*, tam bene meriti viri fuerint, tamque infigni tamen a Luciano iniuria affecti.

(63) θεατων) ακροατων. vid. fupr. pag. 88.

έορτης, και ὁ Θεος ισως χαιρει, Φιλογελως τις ων. Ὁ δε τȣς αριςȣς ξυγκαλων, εκ πολλȣ Φροντισας και παρασκευασαμενος και βλασΦημιας τινας ες παχυ βιβλιον συγγραψας, μεγαλη τη Φωνη διαγορευει κακως Πλατωνα, Πυθαγοραν, Αριςοτελην τȣτον, Χρυσιππον εκεινον, εμε, και ὁλως ἁπαντας, ȣτε ἑορτης εΦιεισης, ȣτε ιδια τι προς ἡμων παθων. ειχε γαρ αν τινα συγγνωμην αυτω το πραγμα, ει αμυνομενος αλλα μη αρχων αυτος εδρασε. και το παντον δεινοτατον, ὁτι ταυτα ποιων και ὑπο το σον ονομα, ω Φιλοσοφια, ὑποδυεται, και ὑπελθων τον διαλογον, ἡμετερον οικετην οντα, τȣτω ξυναγωνιςη και ὑποκριτη χρηται καθ' ἡμων, ετι και Μενιππον (64) αναπεισας, ἑταιρον ἡμων ανδρα, ξυγκωμωδειν αυτω τα πολλα, ὁς μονος ȣ παρεςιν, ȣδε κατηγορει μεθ' ἡμων, προδȣς το κοινον. Ανθ' ὡν ἁπαντων αξιον εςιν αυτον ὑποσχειν την δικην· η τι γαρ αν ειπειν εχοι, τα σεμνοτατα διασυρων επι τοσȣτων μαρτυρων; χρησιμον γȣν και προς εκεινȣς το τοιȣτον, ει θεασαιντο αυτον κολασθεντα, ὡς μηδε αλλος τις ετι καταΦρονοιη Φιλοσοφιας, επει τογε, την ἡσυχιαν αγειν και ὑβριζομενον ανεχεσθαι, ȣ μετριοτητος, αλλ' ανανδριας και ευηθειας εικοτως αν νομιζοιτο. Τα μεν γαρ τελευταια, (65) τινι Φορητα; ὁς καθαπερ ανδρα-

(64) Μενιππον -) et ex h. l. vti fupra pag. 55. patet, Philofophum hunc amare in primis Lucianum.

(65) τα μ. γ. τελευταια) grauiffimum, tanquam letale

δραποδα παραγαγων ἡμας επι το πωλητηριον και κηρυκα επιστησας απημπωλησεν, ὡς φασι, τους μεν επι πολλων, ενιους δε, μνας Αττικης, εμε δε, ὁ πονηροτατος ουτος, δυ' οβολων· (66) οἱ παροντες δ' εγελων· ανθ' ὡνγε αυτοι τε ανεληλυθαμεν αγανακτησαντες, και σε αξιουμεν τιμωρησειν (67) ἡμιν, τα αισχιστα ὑβρισμενοις.

ΑΝΑΒ. Ευγε, ω Διογενες, ὑπερ ἁπαντων καλως, ὁποσα εχρην, ἁπαντα ειρηκας.

ΦΙΛ. Παυσασθε επαινουντες. Εγχει τῳ απολογουμενῳ. συ δε ω Παῤῥησιαδη, λεγε ηδη εν τῳ μερει. (68) σοι γαρ το ὑδωρ ῥει νυν· μη μελλε ουν.

ΠΑΡΡ. Ου παντα μου, ω Φιλοσοφια, κατηγορησε Διογενης, αλλα τα πλειω, ὁσα ην χαλεπωτερα, ουκ οιδ' ὁ, τι παθων παρελιπεν. εγω δε τοσουτου δεω εξαρνος γενεσθαι, ὡς ουκ ειπον αυτα, η απολογιαν τινα μεμελετηκως αφιχθαι, ὡστε και ει τινα η αυτος ουτος απεσιωπησεν, η εγω μη προτερον εφθην ειρηκως, νυν προσθησειν μοι δοκω. ουτω γαρ αν μαθοις, ους τινας απε-

tale, telum in fine demum mittit, vt eo maiorem vim habeat. Sic aculeum quasi relinquit in pectore Iudicum.

(66) δυ' οβολων) vid. supr. p. 124.

(67) αξιουμεν τιμωρησειν) τιμωρησαι legendum esse, suadet fere multitudo exemplorum, quae verisimile faciunt, stare Thomae Magistri obseruationem; in aliis verbis, etiam αξιουν nunquam cum futuro iungi. Aoristi frequentis plura dat exempla, sed futuri nullum sibi occurrisse profitetur REITZIVS ad h. l.

(68) εν τῳ μερει) αντι, το σον μερος. Schol. Voss.

απεκηρυττον και κακως ηγορευον, αλαζονας και γοητας αποκαλων. και μοι μονον τουτο παραφυλαττετε, ει αληθη περι παντων ερω: ει δε τι βλασφημον η τραχυ φαινοιτο εχων ὁ λογος, ου τον διελεγχοντα εμε, αλλα εκεινους αν οιμαι δικαιοτερον αιτιασθαι, τα ποιουντας. εγω γαρ επειδη ταχιστα ξυνειδον, ὁποσα τοις ῥητορευουσι τα δυσχερη αναγκαιον προσειναι, απατην και ψευδος και θρασυτητα και βοην και ωθισμους και μυρια αλλα, ταυτα μεν, ὡσπερ εικος ην, απεφυγον; επι δε τα σα, ω Φιλοσοφια, καλα ὡρμησας, ηξιουν ὁποσον ετι μοι λοιπον του βιου; καθαπερ εκ ζαλης και κλυδωνος ες ευδιον τινα λιμενα εσπλευσας, ὑπο σοι σκεπομενος, καταβιωναι. Καπειδη μονον παρεκυψα ες τα ὑμετερα, σε μεν, ωσπερ αναγκαιον ην; και τουσδε ἁπαντας εθαυμαζον, αριστου βιου νομοθετας οντας και τοις επ' αυτον επειγομενοις χειρα ορεγοντας, τα καλλιστα και ξυμφορωτατα παραινουντας, ει τις μη παραβαινοι αυτα, μηδε διολισθανοι· αλλ' ατενες αποβλεπων ες τους κανονας, οὓς προτεθεικατε, προς τουτους ῥυθμιζοι και απευθυνοι τον ἑαυτου βιον· ὁπερ, νη Δια, και των καθ' ἡμας αυτους (69) ολιγοι ποιουσιν. Ὁρων δε πολλους ουκ ερω-

(69) καθ' ημας αυτους) Sola Longolii Excerpta habent υμιν, quod adoptauit *verſio*; ſed falſo. „ Vita, ait, componenda eſt ad ea; quae dediſtis; praecepta. et ſunt omnino, ſed pauci admodum; *noſtra* quidem (vel mea) *aetate*, qui conuenienter veſtris praeceptis agant.„

ερωτι Φιλοσοφιας εχομενες, αλλα δοξης μονον της απο τε πραγματος, τα μεν προχειρα ταυτα και δημοσια και όποσα παντι μιμεισθαι ῥᾳδιον, ευ μαλα εοικοτας αγαθοις ανδρασι, το γενειον λεγω, και το βαδισμα και την αναβολην, επι δε τε βιε και των πραγματων αντιφθεγγομενες τω σχηματι και τἀναντια ὑμιν επιτηδευοντας, και διαφθειροντας το αξιωμα της ὑποσχεσεως, ηγανακτεν, και το πραγμα ἐμοιον εδοκει μοι καθαπερ αν ει τις ὑποκριτης τραγῳδιας, μαλθακος αυτος ων και γυναικιας, Αχιλλεα η Θησεα η και τον Ἡρακλεα ὑποκρινοιτο αυτον, μητε βαδιζων μητε φθεγγομενος ἡρωϊκον, αλλα θρυπτομενος ὑπο τηλικετω προσωπειω· ὁν ουδ᾽ αν ἡ Ἑλενη ποτε ἡ Πολυξενη ανασχοιτο περα τε μετριε αυταις προσεοικοτα, εχ ὁπως ὁ Ἡρακλης ὁ Καλλινικος· αλλα μοι δοκει, ταχισ᾽ αν επιτριψαι τω ῥοπαλω παιων τον τοιετον, αυτον τε και το προσωπειον, ετως ατιμως κατατεθηλυσμενος προς αυτε. Τοιαυτα και αυτος ὑμας πασχοντας, ὑπ᾽ εκεινων ὁρων, εκ ηνεγκα την αισχυνην της ὑποκρισεως, ει, πιθηκοι οντες, ετολμησαν ἡρωων προσωπεια περιθεσθαι η τον εν Κυμη ονον μιμησασθαι, (70) ὁς λεοντην περιβαλλομενος ηξιε λεων αυτος ειναι, προς αγνοεντας τες Κυμαιες ογκωμενος μαλα τραχυ και καταπληκτικον, αχρι δη τις αυτον ξενος, και λεοντα ιδων και ονον πολλακις, ηλεγξε και απε-

(70) τον ἐν Κυμη ον. μιμησ.) quis nescit asinum leonis pelle indutum?

απεδιωξε παιων τοις ξυλοις. Ὁ δε μαλιϛα μοι δεινον, ω Φιλοσοφια, κατεφαινετο, τȣτο ην. οἱ γαρ ανθρωποι, ει τινα τȣτων ἑωρων πονηρον, η ασχημον η ασελγες τι επιτηδευοντα, ȣκ εϛιν ὁϛις ȣ Φιλοσοφιαν αυτην ητιατο και τον Χρυσιππον ευθυς, η Πλατωνα, η Πυθαγοραν, η ὁτȣ (71) αυτον επωνυμον ὁ διαμαρτανων εκεινος εποιειτο, και ȣ τȣς λογȣς εποιειτο. (72) και απο τȣ κακως βιȣντος πονηρα περι ὑμων εικαζον των προ πολλȣ τεθνηκοτων (ȣ γαρ παρα ζωντας ὑμας ἡ

(71) η Πυθαγοραν η οτȣ) plus, puto, REITZIVS tribuere debebat Scholiastae, cuius verba haec sunt: η τȣτȣ τον επωνυμον) Διογενȣς τȣ Κυνικȣ. Latere heic mihi videtur vera lectio, quae forte haec est: η Πλατωνα, η Πυθαγοραν, η τȣτον (i. e. Diogenem Cynicum; δεικτικως vt saepissime vel Noster) η οτȣ — — — Stetit enim tanquam Orator in *fronte* ceterorum Diogenes, adeoque facilius *digito* poterat innui.

(72) οτȣ α. επων. - λογ. εποιειτο) Interpretatione quidem iuuari potest lectio vulgata. „Cuius quidem nomen sceleratus ille professus est, disputationes autem (ad viam virtutis ineundam hortantes) neglexit.„ Sed tum coacti quid adhuc restare videtur, tum iam ante Lucianus a virtutis via deflexisse dixerat aemulos illos vel simias potius Philosophorum veterum, denique το εποιειτο *bis* heic verbis vix tribus interiectis positum *nescio an Luciani sit?* ȣ τȣς λογȣς εποιειτο, coniecit IAC. GORNOVIUS. Si hariolari licet et mihi, posuerim: οτȣ αυτον επωνυμον ο διαμ. εκεινος και οτȣ τȣς λογȣς εποιειτο. Quod το εποιειτο subintelligendum erat in priori orationis membro, facile ibi potuit irrepere, et το οτȣ aeque facile ob verbum, quod sequitur, simile, in ȣ mutari. Sensus itaque erit hic: cuius et nomen sceleratus ille et placita (*interdiu* ea auditoribus explicans) professus est.

φασιν, οιον χρηματων καταφρονειν και δοξης, και μονον το καλον οιεσθαι αγαθον, και αοργητον ειναι, και των λαμπρων τουτων υπερορᾳν, και εξ ισοτιμιας αυτοις διαλεγεσθαι, καλα, ω Θεοι, και σοφα, και θαυμασια λιαν ὡς αληθως· οι δε και αυτα ταυτα επι μισθῳ διδασκουσι και τους πλουσιους τεθηπασι και προς το αργυριον κεχηνασιν, οργιλωτεροι μεν των κυνιδιων οντες, δειλοτεροι δε λαγωων, κολακευτικωτεροι δε των πιθηκων, ασελγεστεροι δε των ονων, αρπακτικωτεροι δε των γαλων, φιλονεικοτεροι δε των αλεκτρυονων. τοιγαρουν γελωτα οφλισκανουσιν, ωθιζομενοι επι ταυτα, και περι τας των πλουσιων θυρας αλληλους παρωθουμενοι, (76) και δειπνα πολυανθρωπα δειπνουντες, και εν αυτοις τουτοις επαινουντες φορτικως, και περα του καλως εχοντος εμφορουμενοι, και μεμψιμοιροι φαινομενοι, και επι του κυλικος ατερπη και απῳδα φιλοσοφουντες, και τον ακρατον ου φεροντες. οἱ ιδιωται δε ὁποσοι ξυμπινουσι, γελωσι δηλαδη και καταπτυουσι φιλοσοφιας, ει τοιαυτα καθαρματα εκτρεφει. Το δε παντων αισχιστον, ὁτι μηδενος δεισθαι λεγων ἑκαστος αυτων, αλλα μονον πλουσιον ειναι τον σοφον κεκραγως, μικρον ὑστερον αιτει προσελθων και αγανακτει μη λαβων, ὁμοιον, ὡς ει τις εν βασιλικῳ σχηματι ορθην τια-

(76) παρωθουμενοι) παραγκωνιζομενοι' quidam libri exhibent. quod forte heic verius est, quia paullo ante verbum eiusdem cum παρωθουμ. originis praecessit, ωθιζομενοι. τῳ παραγκωνιζεσθαι etiam in aliis locis Noster vtitur.

τιαραν (77) εχων και διαδημα, και τ'αλλα, όσα βασιλειας γνωρισματα, προσαιτοιη, των ὑποδεεστερων δεομενος. Ὅταν μεν ουν αυτους τι δεη λαμβανειν, πολυς ὁ περι του κοινωνικον ειναι δειν λογος, και ὡς αδιαφορον ὁ πλουτος. και τι γαρ το χρυσιον, η τ'αργυριον, ουδεν των εν τοις αιγιαλοις ψηφιδων διαφερον; (78) ὁταν δε τις επικουριας δεομενος ἑταιρος εκ παλαιου και φιλος απο πολλων, ολιγα αιτη προσελθων, σιωπη και απορια και αμαθια και παλινωδια των λογων προς το εναντιον· οἱ δε πολλοι περι φιλιας, εκεινοι λογοι; και ἡ αρετη και το καλον ουκ οιδ' ὁπη ποτε (79) οιχεται παντα ταυτα, αποπταμενα πτεροεντα ὡς αληθως επη, (80) ματην ὁσημεραι προς αυτων εν ταις διατριβαις σκιαμαχουμενα. Μεχρι γαρ τουτου φιλος ἑκαστος αυτων, ες ὁσον αν μη αργυριον η χρυσιον ᾗ προκειμενον εν τῳ μεσῳ. ην δε τις οβολον επιδειξηται μονον, λελυται μεν ἡ ειρηνη, ασπονδα δε και ακηρυκτα παντα. και τα βιβλια εξαληλειπται και ἡ αρετη πεφευγεν· οἱον τε και οἱ κυνες πασχουσιν, επειδαν τις οστουν ες μεσους αυ-

(77) εν βουσ. - ορθην τιαρ. εχ.) habitu *Magni Regis* ornatus.

(78) ουδεν τ. εν τ. αι ψηφ. διαφερον) Sic in Noftri *Timone* Thrafieles: το δε χρυσιον ουδεν τιμιωτερον των εν τοις αιγιαλοις ψηφιδων μοι δοκει. (cap. 56.)

(79) οπη ποτε) quo *tandem* locorum — cuius voculae vim non fenfiffe videtur Mofes Sol. qui το, οποι ποτε *rectius* effe pronunciat.

(80) πτερ. επη) faepius, quis nefcit? in Homero obuia.

αυτȣς εμβαλη, αναπηδησαντες δακνȣσιν αλληλȣς και τον πρεσβευσαντα το ϛȣν ὑλακτȣσι. Λεγεται δε και βασιλευς τις Αιγυπτιος (81) πιθηκȣς ποτε πυῤῥιχιζειν διδαξαι, και τα θηρια (μιμηλοτατα δε εϛι των ανθρωπινων) εκμαθειν ταχιϛα και ορχεισθαι, ἁλȣργιδας (82) αμπεχομενα και προσωπεια περικειμενα, και μεχρι πολλȣ ευδοκιμειν την θεαν, αχρι δη τις θεατης αϛειος καρυα ὑπο κολπον εχων, αφηκεν ες το μεσον· οἱ δε πιθηκοι ιδοντες και εκλαθομενοι της ορχησεως, τȣθ᾽ ὁπερ ησαν, πιθηκοι εγενοντο αντι πυῤῥιχιϛων, και ξυνετριβον τα προσωπεια, και την εσθητα κατεῤῥηγνυον και εμαχοντο περι της οπωρας προς αλληλȣς· το δε συνταγμα της πυῤῥιχης διελελυτο και κατεγελατο ὑπο τȣ θεατρȣ. Τοιαυτα και ὁτοι ποιȣσι και εγωγε τȣς τοιȣτȣς κακως ηγορευον, και ȣ ποτε παυσομαι διελεγχων και κωμῳδων· περι ὑμων δε, η των ὑμιν παραπλησιων (εισι

(81) βασ. τις Αιγυπτ.) tangit hanc hiſtoriolam iterum in *Pro Merc. conductis*, cap. 5. ſed quod ibi Reginam (Cleopatram) heic Regem, ibi ſimium, heic plures, hic nuces, ibi carycas profert Lucianus, id vero multum angebat THEOD. MARCILIVM, qui hinc pronus erat, duas ex vna hiſtorias exſculpere. „Quanquam diſcrepent„ inquit Moſ. Sol. ad h. l. tam vere quam bene, „et regum nomina et nucum, non ideo diuerſas putem eſſe hiſtorias. Solent enim viri vrbaniores fabulas, quas animi cauſſa narrant, *varie ſubinde commemorare*, aut ipſi de ſuo addentes dementesue, de vero parum ſolliciti, modo, quod quaerunt, vt placeant, aut rem, quam agunt, illuſtrent, aſſequantur.„ Patet forte haeç obſeruatio *latius*.

(82) αλȣργιδας) πορφυρας χλαμυδας. Schol. Voſſ.

(εισι γαρ, εισι τινες ὡς αληθως Φιλοσοφιαν ζηλουντες, και τοις ὑμετεροις νομοις εμμενοντες) μη ουτω μανειην εγω, ὡς βλασφημον ειπειν τι η σκαιον. η τι γαρ αν ειπειν εχοιμι; τι γαρ ὑμιν τοιουτο βεβιωται; Τους δ᾽ αλαζονας εκεινους και θεοις εχθρους αξιον οιμαι μισειν· η συ γαρ, ω Πυθαγορα, και Πλατων, και Χρυσιππε, και Αριστοτελες, τι φατε προσηκειν ὑμιν τους τοιουτους, η οικειον τι και ξυγγενες επιδεικνυσθαι τῳ βιῳ; νη Δια, Ἡρακλης, φασι και πιθηκος· (83) η διοτι πωγωνας εχουσι, και φιλοσοφειν φασκουσι, (84) και σκυθρωποι εισι, δια τουτο χρη ὑμιν εικαζειν αυτους, αλλ᾽ ηνεγκα αν, ει πιθανοι γουν ησαν και επι της ὑποκρισεως αυτης. νυν δε θαττον αν γυψ αηδονα μιμησαιτο, η ουτοι φιλοσοφους. Ειρηκα τα ὑπερ εμαυτου, ὁποσα ειχον. συ δε, ω Αληθεια, μαρτυρει προς αυτους, ει αληθη εστι.

ΦΙΛΟΣ. Μεταστηθι, ω Παρρησιαδη, πορρωτερω ετι. — Τι ποιωμεν ἡμεις; πως ὑμιν ειρηκεναι ανηρ εδοξεν;

ΑΡΕ. Εγω μεν, (85) ω Φιλοσοφια, μεταξυ λεγον-

(83) Ηρακλης φ. κ. πιθηκος) παροιμια επι των παντη παρηλλαγμενων και ασυμβατων. Idem.

(84) Φασκουσι) BVRDELOTIVS το ασκουσι vnius Cod. Anglicani praetulit τῳ φασκουσι, quod posterius et Codd. postulant et connexio verborum efflagitat. Est enim hic sermo de iis, qui *profitentur* tantum, at non *exercent* philosophiae praecepta.

(85) ΑΡΕΤ. Εγω μεν) Αληθειαν nec heic nec paullo inferius loqui; mirati sunt GESNERVS et MOSES SOL.

ex

γεντος αυτȢ κατα της γης δυναι ηυχομην. ȣτος αληθη παντα ειπεν. εγνωριζον γȣν ακȣȣσα ἑκαςον των ποιȣντων αυτα, κἀφημιζον μεταξυ τοις λεγομενοις τȣτο μεν ες τονδε· τȣτο δε, ὁ δεινα ποιει. και ὁλως εδειξε τȣς ανδρας εναργως, καθαπερ επι τινος γραφης τα παντα προσεοικοτας, ȣ τα σωματα μονον, αλλα και τας ψυχας αυτας ες το ακριβεςατον απεικασας.

ΦΙΛ. Κἀγω πανυ ηρυθριασα, ω Αρετη. — Ὑμεις δε τι φατε;

ΑΝΑΒ. Τι δε αλλο, η αφεισθαι αυτον τȣ εγκληματος, και φιλον ὑμιν και ευεργετην αναγεγραφθαι; (86) τα γȣν των Ιλιεων ατεχνως πεπονθαμεν, τραγῳδον τινα τȣτον εφ' ἡμας κεκινηκαμεν, ᾀσομενον τας Φρυγων συμφορας. ᾀδετω γȣν και τȣς θεȣς εχθρȣς εκτραγῳδειτω!

ΔΙΟΓ.

ex hoc maxime argumento, quod Parrhesiades euocauerit eam, vt ea, quae dixerit ipse, vera esse testetur. At obliti videntur hi, quos vix quisquam, quam ego, magis aestimet, Viri, omnia haec ante oculos quasi nostros agi. hinc non opus est, vt ea, queis Lucianus Philosophos petiit, crimina sic se habere, *verbis* testetur Αληθεια. poterat enim id vel *nutu*, et *annuit* sine dubio. Ceterum quod idem Moses se ait „*alicubi* loquatur oportet *Veritas*, nisi personam mutam a Luciano inductam censeas, cuius opera potissimum indigebat„ immemor erat eorum, quae iam superius locuta est Dea Veritatis.

(86) Φιλ. - αναγεγρ.) vid. extremum *Charonta*, supr. p. 112.

ΔΙΟΓ. Και αυτος, ω Φιλοσοφια, πανυ επαινω τον ανδρα, και ανατιθεμαι τα κατηγορουμενα και φιλον ποιουμαι αυτον, γενναιον οντα.

ΦΙΛΟΣ. Ευγε, ω Παῤῥησιαδη, αφιεμεν σε της αιτιας και ἁπασαις κρατεις, και το λοιπον, ισθι ἡμετερος ων.

ΠΑΡΡ. Προσεκυνησα τηνγε (87) πρωτην. μαλλον δε τραγικωτερον (88) αυτο ποιησειν μοι δοκω· σεμνοτερον γαρ.

> Ω μεγα σεμνη Νικη, τον εμον
> Βιοτον κατεχοις,
> Και μη ληγοις στεφανουσα. (89)

ΑΡΕΤ. Ουκουν δευτερου κρατηρος (90) ηδη καταρχωμεθα. προσκαλωμεν κἀκεινους, ὡς δικην ὑποσχωσιν, ανθ' ὡν εις ἡμας ὑβριζουσι. κατηγορησει δε Παῤῥησιαδης ἑκαστου.

ΠΑΡΡ.

(87) Προσεκυνησα την γε πρωτην) quam? — Ex Variante, quam *Excerpta* LONGOLII dant, (προσενικησα) coniici quis poſſit. ponendum eſſe, προσεκυν. Νικην γε πρω. Sed non opus eſt mutatione. Dicit haec Parrheſiades *conuerſus* ad Victoriam, *indigitans* eam. — Verſio habet: equidem ab initio iam adoraui, immo vero: primam te (o Dea) iam ſuperius adoraui.

(88) τραγικωτ.) verbis Tragici.

(89) Ω μεγ. - στεφαν.) EVRIPIDES in fine Phoeniſſ. Oreſtae et Iphigeniae in Tauris. In lectione mire variat BARNESIVS. dedit et ω. μ. σεμνη Νικα, et σεμνα Νικα, et σεμνη Νικη.

(90) ου. δευτ. κρατ. η κατ.) phraſis, vt Interpp. volunt, a *ſecundo cratere*, in conuiuiis poſito, deſumta. Idem itaque eſt, quaſi dicat Philoſophia: age iam, hilarius agamus!

ΠΑΡΡ. Ορθως, ω Αρετη, ελεξας, ὡςε συ, Παι Συλλογισμε, κατακυψας ες το Αςυ, προσκηρυττε τας Φιλοσοφας. (91)

ΣΥΛΛ. Ακουε, σιγα. Τας Φιλοσοφας ἡκειν ες ακροπολιν απολογησομενας επι της Αρετης, και Φιλοσοφιας και Δικης.

ΠΑΡΡ. Ὁρας; ολιγοι συνερχονται, γνωρισαντες το κηρυγμα. αλλως γαρ δεδιασι την Δικην. οἱ πολλοι δε αυτων, ουδε σχολην αγουσιν, αμφι τας πλουσιας εχοντες. ει δε βουλει παντας ἡκειν, κατα ταδε, ω Συλλογισμε, κηρυττε. — (92)

ΦΙΛ. Μηδαμως. αλλα συ, ω Παῤῥησιαδη, προσκαλει, καθοτι σοι δοκει.

ΠΑΡΡ. Ουδε τοδε χαλεπον. Ακουε, σιγα. ὁσοι Φιλοσοφοι ειναι λεγουσι, και ὁσοι προσηκειν αυτοις οιονται του ονοματος, ἡκειν ες ακροπολιν επι την διανομην. (93) δυο μναι ἑκαςῳ δοθησονται και σησαμαιος πλακους. ὁς δ' αν πωγωνα βαθυν επιδειξηται, και παλαθην ισχαδων (94) ἑτος γε προσεπιληψεται.

(91) Παι Συλλ. - προσκ. τ. Φιλ.) „Apta huic rei, inquit GESN. Syllogifmi perfona, tum quod familiaris Philofophis, tum propter ετυμον, quia *collectionem* notat.„ Ego quidem Syllogifmo puero praeconis munus condonaffem. nec *callide* fatis id perfecit.

(92) κατα ταδε - κηρ.) dicturum, quibus verbis advocandi fint Philofophi, interpellat Philofophia.

(93) ηκ. - διανομην) in his et fequentibus multum *acuminis* prodis, praeco Parrhefiade!

(94) παλ. ισχ.) μαζαν συκων. Schol.

ται· κομιζειν δ' ἑκαςον, σωφροσυνην μεν και δικαιοσυνην η εγκρατειαν μηδαμως (ουκ αναγκαια γαρ ταυτα γε, ην μη παρῃ) πεντε δε συλλογισμους εξ ἁπαντος. ου γαρ θεμις ανευ τουτων ειναι σοφον.

Κειται δ' εν μεσσοισι δυο χρυσοιο ταλαντα, (95)

Τῳ δομεν, ὃς μετα πασιν εριζεμεν εξοχος ειη. — Βαβαι, ὡς πληρης μεν ἡ ανοδος (96) ωθιζομενων, επει τας δυο μνας ὡς ηκουσαν (97) μονον! παρα δε τὸ Πελαςγικον αλλοι και κατα το Ασκληπιειον (98) ἑτεροι, και περι τον Αρειον Παγον ετι πλειους, ενιοι δε και κατα τον του Ταλω ταφον· ὁι δε και προς το Ανακειον (99) προθεμενοι κλιμακας ανερπουσι βομβηδον, νη Δια, και βοτρυδον (100), ες μου δικην, ἱνα και καθ' Ὁμηρον ειπω. αλλα κἀκειθεν ευ μαλα πολλοι, κἀντευθεν

Μυ-

(95) κειται δ' 'εν μεσσ.) ex Hom. Ιλ. σ. 507. 508. immutato *ad hunc locum* versu altero.

(96) ως πλ. η ανοδος) erat enim *vnicus*. de hac Topographia Ακροπολεως vid. MEVRS. Cecrop. maxime Cap. V, VI.

(97) επει τ. δ. μν. ως ηκ.) Mos. Sol. et Gesn. poni iubent επι τ. δ. μν. ως ηκ.

(98) κ. τ. Ασκληπ.) et Aesculapii fanum et, cuius paullo post meminit, Tali sepulcrum ad viam erant, quae *e theatro ad arcem ducebat*. vid. eiusd. Athenae Att. pag. 104.

(99) Ανακειον) aedes Castoris et Pollucis, Ανακες dictorum.

(100) βοτρυδον) Ιλιαδ. β. v. 89. Virg. Georg. IV. 557.

Μυριοι, όσσα τε φυλλα και ανθεα γινεται ωρι. (101)

Μεσῃ δε ακροπολις εν βραχει, κλαγγηδον προκαθιζοντων, (102) και πανταχȣ πηρα, πωγων, κολακεια, αναισχυντια, βακτηρια, λιχνεια, συλλογισμος, φιλαργυρια. όι ολιγοι δε, όποσοι προς το πρωτον κηρυγμα εκεινο ανηεσαν, αφανεις και ασημοι, αναμιχθεντες τῳ πληθει των αλλων, και λεληθασιν εν τῃ όμοιοτητι των αλλων σχηματων. Τȣτο γȣν το δεινοτατον εστιν, ω Φιλοσοφια, και ὁ τις αν μεμψαιτο σȣ μαλιστα, το μηδεν επιβαλλειν γνωρισμα και σημειον αυτοις. (103) Πιθανωτεροι γαρ όι γοητες ἑτοι πολλακις των αληθως φιλοσοφȣντων.

ΦΙΛ. Εσαι τȣτο' μετ' ολιγον, αλλα δεχωμεθα ηδη. (104)

ΠΛΑ-

(101) Μυριοι -) ibid. v. 468. Apud. Hom. legitur ωρῃ, cuius interpretamentum το ηρι videtur esse CLARKIO. Forte versum h. ex memoria adscripsit Lucia.

(102) κλαγγηδον προκ.) ibid. v. 463. Quod ibi Poeta de *anseribus* vel gruibus vel cygnis, hîc Lucianus de Philosophis ait.

(103) το μηδ. 'επιβ. γν. κ. σημ. αυτ.) philosophos *signatos* Lucianus, tales amicos optat Theseus apud EVRIP. Hippol. v. 925.

— Χρην βροτοισι των φιλων τεκμηριον
Σαφες τι κεισθαι και διαγνωσιν φρενων,
Οστις τ' αληθης εστιν, ος τε μη φιλος.

(104) αλλ. δεχ. ηδη) ingeniosa est coniectura Gesneri, tribuentis haec impatienti Philosophorum turbae, et

 cum

ΠΛΑΤΩΝΙΚΟΙ. Αυτȣς ἡμας πρωτȣς (105) χρη τȣς Πλατωνικȣς λαβειν.

ΠΥΘΑΓΟΡΙΚΟΙ. Ουκ. αλλα τȣς Πυθαγορικȣς ἡμας· προτερος γαρ Πυθαγορας ην.

ΣΤΩΙΚ. Ληρειτε· αμεινȣς ἡμεις όι απο της Στοας.

ΠΕΡΙΠΑΤ. Ου μεν ȣν· αλλ' εν γε τοις χρημασι πρωτοι αν ἡμεις ειημεν, όι εκ τȣ Περιπατȣ.

ΕΠΙΚ. Ἡμιν τοις Επικȣρειοις τȣς πλακȣντας δοτε, και τας παλαθας. (106) περι δε των μνων περιμενȣμεν, καν ὑςατȣς δεη λαμβανειν.

ΑΚΑΔΗΜ. Πȣ τα δυο ταλαντα; δειξομεν γαρ όι Ακαδημαϊκοι, όσον των αλλων εσμεν εριςικωτεροι.

ΣΤΩΙΚ. Ουχ ἡμων γε των Στωικων παροντων.

ΦΙΛ. Παυσασθε φιλονεικȣντες. ὑμεις δε, όι Κυνικοι μητε ωθειτε αλληλȣς, μητε τοις ξυλοις παιετε· επ' αλλα γαρ ιςε κεκλημενοι. Και νυν εγωγε ἡ Φιλοσοφια, και ἡ Αρετη άυτη, και ἡ Αληθεια, δικασομεν, τινες όι ορθως φιλοσοφȣντες εισιν, ειτα όσοι μεν αν ἑυρεθωσι κατα τα ἡμιν δοκȣντα βιȣντες, ευδαιμονησȣσιν, αριςοι κεκριμενοι· τȣς γοητας δε και ȣδεν ἡμιν προσηκοντας, κακȣς κακως επιτριψομεν, ὡς μη αντιποιοιντο των ὑπερ αυτȣς, αλαζονες οντες. — Τι τȣτο; φευγετε, νη Δια, καταγε των κρημνων όι πολλοι

cum vixdum aduenerint, conclamanti: at heus! habebimus mox placen am et minas nostras?

(105) Αυτȣς ημας πρ.) iam oritur *singulorum* certamen ridiculum satis, quae schola praemium accipiat prima?

(106) ημιν τ. Επικ.-) conuenienter admodum!

λοι ἀλλομενοι; (107) κενη δ' ϗν ἡ Ακροπολις, πλην ολιγων τϗτων, ὁποσοι μεμενηκασιν, ϗ φοβηθεντες την κρισιν. — Ὁι ὑπηρεται ανελεσθε την πηραν, ἡν ὁ Κυνισκος απερριψεν εν τη τροπη. Φερ' ιδω τι και εχει, ηπϗ θερμϗς, η βιβλιον, η αρτϗς των αυτοπυριτων; (108)

ΠΑΡΡ. Ουκ· αλλα χρυσιον τϗτι, και μυρον και μαχαιριδιον θυτικον, (109) και κατοπτρον και κυβϗς.

ΦΙΛ. Ευγε, ω γενναιε, τοιαυτα σοι ην τα εφοδια της ασκησεως, και μετα τϗτων ηξιϗς λειδορειϲθαι ἁπασι και τϗς αλλϗς παιδαγωγειν;

ΠΑΡΡ. Τοιϗτοι μεν ἐτοι. χρη δε ὑμας σκοπειν ὀν τινα τροπον αγνοϗμενα ταυτα πεπαυσεται, και διαγνωσονται ὁι εντυγχανοντες, ὁι τινες ὁι αγαθοι αυτων, και ὁι τινες αυ παλιν ὁι τϗ ἑτερϗ βιϗ· συ δε, ω Αλη-

(107) *καταγε κρημν. - αλλ.*) vti ſupra corui hi hiantes *per ſcalas* aſcenderunt, ita heic deluſi, vel per rupem, cui Arx inaedificata erat, *praecipites* ſe dantes diffugiunt.

(108) *αρτ. τ. αυτοπυρ.*) *αυτοπυριτης αρτος ο λιτος και σχεδιως ωπτημενος, η προς ηλιον, η και τη σποδιᾳ, ον και εγκρυφιαν φασι.*

(109) *μαχαιριδ. θυτ.*) Innui puto cultrum, qui maior, quam ii, qui *communi vſui* adhibebantur, fuerit, talis ſcilicet, qui mactandis victimis inſeruiebat, quemque in pera occultauit Philoſophus, vt habeat, quo mactet ſtatim, *quicquid obtigerit.* — Moſ. Sol. Lucianum vel alluſiſſe ſuſpicatur ad Εγχειριδιον, quod libris, veluti Epicteti illi, tituli loco praefigebatur, vel Cynicum hunc magiae ſuſpectum reddere voluiſſe. Deinde, tanquam ſibi ipſe non ſatisfaciens, *κηρικον* coniicit, ſi modo haec verba genuina ſint. de quo vt addubitet, facit Scholiaſtae de iis ſilentium.

ω Αληθεια, εξευρισκε, ὑπερ σȣ γαρ τȣτο γενοιτ᾽ αν, ὡς μη επικρατη σȣ το ψευδος, μηδε ὑπο τῃ αγνοιᾳ λανθανωσιν ὁι Φαυλοι των ανδρων ες τȣς χρηςȣς μεμιγμενοι.

ΑΛΗΘ. Επ᾽ αυτῳ, ει δοκει, Παῤῥησιαδη ποιησωμεθα το τοιȣτον, επει χρηςος ωπται, και σε, ω Φιλοσοφια, μαλιϛα θαυμαζων, παραλαβοντα μετ᾽ αυτȣ τον Ελεγχον, ἁπασι τοις Φασκȣσι Φιλοσοφειν εντυγχανειν· ειθ᾽ ὁν μεν αν ἑυρη γνησιον ὡς αληθως Φιλοσοφιας, ςεφανωσατω θαλȣ ςεφανῳ, (110) και ες το Πρυτανειον καλεσατω. ην δε τινι (ὁιοι πολλοι εισι) καταρατῳ ανδρι ὑποκριτῃ Φιλοσοφιας εντυχῃ, το τριβωνιον περισπασας, αποκειρατω τον πωγωνα εν χρῳ πανυ τραγοκȣρικῃ μαχαιρᾳ, (111) και επι τȣ μετωπȣ ϛιγματα επιβαλλετω· η εγκαυσατω κατα το μεσοΦρυον· ὁ δε τυπος τȣ καυτηρος εϛω αλωπηξ η πιθηκος.

ΦΙΛ. Ευγε, ω Αληθεια. ὁ Ελεγχος, ω Παῤῥησιαδη, τοιοςδε εστω, ὁιος ὁ των αετων προς τον ἡλιον ειναι λεγεται, ȣ μα Δι᾽, ὡςε κᾀκεινȣς αντιβλεπειν τῳ Φωτι, και προς εκεινο δοκιμαζεσθαι, αλλα προθεις χρυσιον, και δοξαν, και ἡδονην, ὁν μεν αν αυτων ειδης ὑπερ-

(110) θαλȣ ςεφανῳ) θαλος (vel θαλλος) απλως λεγεται, παν το τεθηλος. κυριως δε ο της ελαιας βλαςος. Schol. ad Theocr. Ειδ. 4, 45.

(111) τραγ. μαχ.) declarat *hoc* magnitudinem barbae, vti fupr. p. 60. *eo*, quod eam fuper fcala nauali incidi iuffit.

ὑπερορωντα, (112) και μηδαμως ἑλκομενον προς την οψιν, ὑτος εσω ὁ τῳ θαλῳ τεθομενος, ὀν δ'αν ατενες αποβλεποντα, και την χειρα ορεγοντα επι το χρυσιον, απαγειν επι το καυτηριον τουτον, αποκειραντα προτερον τον πωγωνα.

ΠΑΡΡ· Ὡς εδοξεν, εσαι ταυτα, ω Φιλοσοφια, και οψει αυτικα μαλα τους πολλους αυτων αλωπεκιας, η πιθηκοφορους, (113) ολιγους δε και εσεφανωμενους. Ει βουλεσθε μεντοι, κἀνταυθα αναξω τινας ὑμιν, νη Δι', αυτων.

ΦΙΛ. Πως λεγεις; αναξεις τους φυγοντας;

ΠΑΡΡ. Και μαλα, ην ἡ ἱερεια μοι εθελῃ προς ολιγον χρησαι την ὁρμιαν εκεινην και το αγκισρον, (114) ὁπερ (115) ἁλιευς ανεθηκεν ὁ εκ Πειραιως.

ΙΕΡΕΙΑ.

(112) ὑπερορωντα) at HORATIVS laudem defert iis,
quisquis ingentes oculo *irretorto*
spectat aceruos.

Carm. II. 2, 23.

(113) αλωπεκ. η πιθηκ.) suauissimo lusu ad equos, vel τῳ Κ. (κοππατιας) vel τῳ Σ. (σαμφορας) notatos, respicere Lucianum, ait Gesn. ad h. l.

(114) τ. ορμ. εκ. κ. τ. αγκ.) ad aliquam, aetate sua notam, historiam alludere Noster videtur Moss Sol, Fuit forte linea hamusque, quem, opinor, piscator ille, capiens quendam ope eius piscem *solito maiorem* Mineruae pius dedicauit.

(115) ορμ. εκ. κ. τ. αγκ. ὁπερ) referri *debere* το

ΙΕΡΕΙΑ. Ιδȣ δη λαβε, και τον καλαμον γε ἁμα, ὡς παντ' εχοις.

ΠΑΡΡ. Ουκȣν, ω 'Ιερεια, και ισχαδας μοι τινας δος ανυσασα (116) και ολιγον τȣ χρυσιȣ.

ΙΕΡ. Λαμβανε.

ΦΙΛ. Τι πραττειν ανηρ διανοειται;

ΙΕΡ. Δελεασας το αγκιςρον ισχαδι και χρυσιῳ, καθεζομενος επι το ακρον τȣ τειχȣ, καθηκεν ες την πολιν.

ΦΙΛ. Τι ταυτα, ω Παῤῥησιαδη, ποιεις; ηπȣ τȣς λιθȣς ἁλιευσειν διεγνωκας εκ τȣ Πελασγικȣ;

ΠΑΡΡ. Σιωπησον, ω ΦιλοσοΦια, και την αγραν περιμενε· (117) συ δε, Ποσειδον Αγρευ, και ΑμΦιτριτη Φιλη, πολλȣς ἡμιν αναπεμπε των ιχθυων. — Αλλ' ὁρω τινα λαβρακα ευμεγεθη, μαλλον δε χρυσοΦρυν.

ΕΛΕΓΧ. Ουκ. αλλα γαλεος (118) εςι· προσερχεται

οπερ ad vtrumque, iudicauit Mof. Sol. et hinc correxit, ωπερ. at non opus eſt. referri enim poteſt το οπερ ad ſolum αγκιςρον.

(116) δος ανυσασα) περιττον το ανυσασα, Αττικον μεντοι. Schol.

(117) την αγραν περιμ.) antea deridendos propinarat Philoſophos in *vniuerſum omnes*. nunc *ſingulos* captat ex vnaquaque fere Schola. Aetate Luciani dicere *forte* multi poterant, vti Virtus ſupra: εγνωριζομεν εκαςων των ποιȣντων αυτα, καΦηρμοζομεν τȣτο μεν ες τονδε, τȣτο δε, ο δεινα ποιει. at nobis haec non licent.

(118) γαλεος) piſcis genus (muſtelus) quem, teſte ΑΤΗΕ·

ται δη τῳ αγκιςρῳ κεχηνως. οσφραται τȣ χρυσιȣ. πλησιον ηδη εςιν. εψαυσεν, ειληπται, ανασπασωμεν!

ΠΑΡΡ. Και συ, ω Ελεγχε, νυν ξυνεπιλαβȣ της ὁρμιας· ανωἱεςι. Φερ' ιδω, τις ει, ω βελτιςε των ιχθυων; Κυων ȣτος γε. Ἡρακλεις των οδοντων! Τι τȣτο, ω γενναιοτατε; ειληψαι λιχνευων επι τας πετρας, ενθα λησειν ηλπισας, (119) ὑποδεδυκως; αλλα νυν εση φανερος ἁπασιν, εκ των βραγχιων απηρτημενος. εξελωμεν το δελεαρ και το αγκιςρον τȣτι. κενον σοι το αγκιςρον· ἡ δε ισχας ηδη προσεσχηται και το χρυσιον εν τη κοιλιᾳ.

ΔΙΟΓ. Μα Δια, εξεμεσατω, ὡς δη και επ' αλλȣς δελεασωμεν.

ΠΑΡΡ. Ευ εχει. τι φης, ω Διογενες; οισθα τȣτον, ὁςις εςιν, η προσηκει σοι τι ανηρ;

ΔΙΟΓ. Ουδαμως.

ΠΑΡΡ. Τι ȣν; ποσȣ αξιον αυτον χρη φαναι; εγω μεν γαρ δυ' οβολων πρωην αυτον ετιμησαμην.

ΔΙΟΓ.

ATHENAEO, p. m. 286. Syracusii κυνα πιονα vocant. Hinc mox Parrhesiades, κυων ȣτος γε.

(119) ενθα λησειν ηλπισας) Pirckheimerus et IO. F. GRON. cui filius subscribit, voluerunt ληΐζειν ηλπ. neque hoc ita reiiculum est, vt REITZIO videtur, primo, quod saepius το λησειν ελπιζ. vel νομιζειν apud Lucianum occurrat (at et hinc το λησειν, repetere heic potuit librarius et τῳ ληΐζειν supponere) deinde quod sequatur, εση φανερος απασιν. (at hoc referri potest ad το υποδεδυκως.)

ΔΙΟΓ. Πολλȣ λεγεις. αβρωτος τε γαρ εςι, και ειδεχθης, και σκληρος (120) και ατιμος. αφες αυτον κατα την κεφαλην απο της πετρας· συ δε αλλον ανασπασον, καθεις το αγκιςρον. εκεινο μεντοι ὁρα, ω Παῤῥησιαδη, μη καμπτομενος σοι ὁ καλαμος αποκλασθῃ.

ΠΑΡΡ. Θαῤῥει, ω Διογενες· κȣφοι εισι, και των αφυων ελαφροτεροι.

ΔΙΟΓ. Νη Δια, αφυεςατοι (121) γε. ανασπα δε ὁμως.

ΠΑΡΡ. Ιδȣ. τις αλλος ȣτος ὁ πλατυς, ὡσπερ ἡμιτομος ιχθυς προσερχεται; ψηττα τις (122) κεχηνως ες το αγκιςρον. κατεπιεν, εχεται, ανασπασθω!

ΕΛΕΓΧ. Τις εςιν;

ΔΙΟΓ.

(120) ειδεχ. κ. σκληρ.) αμορφος, απρεπης, μυσαρος. Schol.

(121) αφυεςατοι) lufum hunc verborum in αφυα et αφυεςατος non commode feruari poffe ait GESNERVS. vertit itaque, immo maxime funt cognati apuis *infeliciffimi ingenii* homines. non *hoc* putem dicere voluiffe Lucianum, fed effe, *omnium apuarum vilifsimos*, contemtiores, quam apuae. Cuius interpretationis vadem fifto *Athenaeum*, qui in Dipnofoph. VII. 8. de apuis haec refert: την αφυην εν Αθηναις υπερορωσι, και πτωχικον ειναι φασιν ὀψον, et quidem ob multitudinem earum. capiuntur enim, vt Archeftratus ait,

εν ευκολποισι Φαληρȣ

Αγκωσι - ιεροις. — Hinc pergit Diogenes (pifciculi hi quamuis viles fint Athenis) eos tamen extrahe.

(122) ψηττα τις) ιχθυδιον η ψηττα των πλατεων. Schol.

ΔΙΟΓ. Ὁ Πλατωνικος ειναι λεγων.

ΠΛΑΤ. Και συ, ω καταρατε, ἡκεις επι το χρυσιον;

ΠΑΡΡ. Τι φης, ω Πλατων; τι ποιωμεν αυτον;

ΠΛΑΤ. Απο της αυτης πετρας και ὑτος!

ΔΙΟΓ. Επ' αλλον καθεισθω.

ΠΑΡΡ. Και μην ὁρω τινα παγκαλον προσιοντα, ὡς αν εν βυθῳ δοξειε, (123) ποικιλον την χροαν, ταινιας τινας επι τε νωτε επιχρυσες εχοντα. Ὁρᾳς, ω Ελεγχε; ὁ τον Αριστοτελην προσποιεμενος ὑτος εστιν. ηλθεν, ειτα παλιν απενηξατο. περισκοπει ακριβως, (124) αυθις επανηλθεν, εχανεν, ειληπται, ανιμησθω!

ΑΡΙΣΤ. Μη ανερη με περι αυτε, ω αῤῥησιαδη, αγνοω γαρ, ὁστις εστιν.

ΠΑΡΡ. Ουκεν ὑτος Αριστοτελες κατα πετραν.

ΔΙΟΓ. Αλλ' ιδε, πολλες πε τες ιχθυς (125) ὁρω κατα ταυτον ὁμοχροας, ακανθωδεις, και την επιφανειαν εκτετραχυσμενες, εχινων δυσληπτοτερες. ηπε σαγηνης επ' αυτες δεησει· αλλ' ε παρεστιν. ἱκανον, ει κἀν

(123) ὡς αν εν β. δοξ.) quantum quidem in profundo apparet.

(124) περισκ. ἀκρ.) cautior reliquis videtur piſcis Ariſtotelicus.

(125) πολλες ιχθ. ορω) vid. ſupr. Not. 64. ad B. Πρασιν.

κᾀν ἑνα τινα εκ της αγελης ανασπασαιμεν. ἡξει δε επι το αγκιςρον δηλαδη, ὁς αν αυτων θρασυτατος η.

ΕΛΕΓΧ. Καθες, ει δοκει, σιδηρωσας γε προτερον επιπολυ της ὁρμιας, ὡς μη αποπριση τοις οδȣσι, καταπιων το χρυσιον.

ΠΑΡΡ. Καθηκα. συ δε, ω Ποσειδον, επιτελει την αγραν. (126) — Βαβαι, μαχονται περι τȣ δελεατος. και ὁι μεν ξυναμα πολλοι περιτρωγȣσι την ισχαδα· ὁι δε προσφυντες εχονται τȣ χρυσιȣ. ευ εχει, περιεπαρη τις μαλα καρτερος. Φερ' ιδω, τινος επωνυμον σεαυτον ειναι λεγεις; Καιτοι γελοιος τε ειμι, αναγκαζων ιχθυν λαλειν. αφωνοι γαρ αυτοι. αλλα συ, ω Ελεγχε, ειπε, ὁντινα εχει διδασκαλον αυτȣ;

ΕΛΕΓΧ. Χρυσιππον τȣτονι.

ΠΑΡΡ. Μανθανω, διοτι χρυσιον, οιμαι, προσην τῳ ονοματι. συ δ' ȣν, Χρυσιππε, προς της Αθηνας, οισθα τȣς ανδρας, η τοιαυτα παρῃνεις αυτȣς ποιειν;

ΧΡΥΣ. Νη Δια, ὑβριςικα ερωτας, ω Παῤῥησιαδη, προσηκειν τι ἡμιν ὑπολαμβανων τοιȣτȣς οντας.

ΠΑΡΡ.

(126) *επιτελει τ. αγραν*) *προσυπακȣςεον το παρεχε*, inquit Schol. Legiſſe itaque videtur, *επιτελειν τ. αγρ.* quae locutio *abrupta* vel *ελλειπτικα* conuenire videtur ſatagenti et feſtinanti in piſcatu Parrheſiadae.

ΠΑΡΡ. Ευγε, ω Χρυσιππε, γενναιος ει. Ὁυτω (127) γȣν και αυτος επι κεφαλην μετα των αλλων, επει και ακανθωδης εσι, και δεος, μη διαπαρη τις τον λαιμον εσθιων.

ΦΙΛ. Ἁλις, ω Παῤῥησιαδη, της αγρας, (128) μη και τι σοι, ὁιον πολλοι εισιν, οιχηται αποσπασας το χρυσιον και το αγκισρον· ειτα σε αποτισαι τη ἱερεια δεησει. Ὡσε ἡμεις μεν απιωμεν περιπατησȣσαι· καιρος δε και ὑμας απιεναι, ὁθεν ἡκετε, μη και ὑπερημεροι γενησεσθε της προθεσμιας. συ δε και ὁ Ελεγχος, ω Παῤῥησιαδη, κυκλῳ επι παντας αυτȣς ιοντες, η σεφανȣτε, η εγκατακαιετε, ὡς εφην.

ΠΑΡΡ. (129) Εσαι ταυτα, ω Φιλοσοφια. Χαιρετε, ω βελτισοι ανδρων. Ἡμεις δε κατιωμεν, ω Ελεγχε, και τελωμεν τα παρηγγελμενα. Ποι δε και πρω-

(127) ȣτω γ. επ. τ. κεφ.) fufpectum eft το ȣτω Mofi Sol. defideranti ιτω vid. Not. praeced. Subaudiendum certe eft ιτω.

(128) αλις - τ. αγρας) *definere* didicit Lucianus. reftabant enim plures capiendi.

(129) ΠΑΡΡ.) bis interferit Ελεγχον Mofes Sol. et hic, Parrhaefiadae loco, et inferius ante verba, ȣδεν διοισει — Dormitaffe videtur bonus Mofes. fi enim vtrique loco praeponetur Ελεγχος, colloquetur *fecum ipfe*. Si interferendus eft, malim ante το, ȣδεν δ. τ.

πρωτον απιενχη δεησει; μων ες την Ακαδημιαν, η ες την Στοαν; απο τȣ Λυκειȣ (130) ποιησωμεθα την αρχην. ȣδεν διοισει τȣτο. Πλην οιδα εγω, ώς όποι ποτ' αν 'απελθωμεν, ολιγων μεν ϛεφανων, πολλων δε των καυϛηριων (131) δεησομεθα.

(130) *απο τ. Λυκ.*) haec male cohaerent. excidit forte ; η. η λ. τȣ Λυκειȣ.

(131) *καυϛηριων*) non conſtant ſibi Editores. ſupra p. 185 poſuerant *καυτηριον*, heic *καυϛηρ*. *Καυτηριον bis* occurrit, et ſupra in B. Πρ. et in Pro Merc. cond. §. 2. vtroque loco *absque Variante*, *καυϛηριον ſemel* in h. loco. et ad hunc tamen *vnicum* locum *binos* illos corrigere vult Moſes? — Scribendum itaque putem et hic, *καυτηριον*. Veriſimilius enim eſt, librarios *ſemel* erraſſe in *καυϛ*. quam *bis* in *καυτηριον*.

IENAE LITTERIS STRAVSSII.

ERRATA ADHUC OBSERVATA.

pag. 14. in Not. lege *εισι* pro *εις.*

— 18. lin. 12. lege *εγω γȣν τογε* pr. *εγ. γουν. το γε.*

— 72. l. 19. post *εν Φυγη* pone (16)

— 94. l. 19. l. *αοιδ.* pro *αοδ.*

— 96. l. 6. l, *δοκει* pro *δοκειν.*

— 107. l. 10. l. *ωφεληθηναι* pr. *ωφεληθειναι.*

— 109. l. 6. l. *ορυξαντες* pro *ορυξαντας.*

— 111. l. 18. l. *παρα* pro *παρȣ.*

— 134. l. 7. l. *παρασυμβαμα* pr. *παρασυμβανα*

— 138. l. 23. l. *απεψυχετο* pro *απεφυψ.*

— 154. l. 14. l. *ἁπαντων* pro *ανπ.*

— 173. l. 18. l. *ὁποσ.* pro *'ποσ.*

— 176. l. 12. lege *ησαν* pro *ȣσαν.*

— 180. in Not. lin. 9. l. erat pro erant.

— 184. l. 7. l. *παραλαβοντι* pro *παραλαβοντα.*

